Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: buo-ac

*Σοφοκλῆς* · Sophocles

# Oedipus at Colonus

*Οἰδίπους ἐπὶ Κολωνῷ*

**Period:** *Κλασική* Classical
**Dialect:** *Δράμα Ἀττικόν* Attic Drama
**Domain:** *Δρᾶμα* Drama
**Format:** *Ἔμμετρος* Verse

ΟΙΔΙΠΟΥΣ
Τέκνον τυφλοῦ γέροντος, Ἀντιγόνη, τίνας
χώρους ἀφίγμεθ' ἢ τίνων ἀνδρῶν πόλιν;
τίς τὸν πλανήτην Οἰδίπουν καθ' ἡμέραν
τὴν νῦν σπανιστοῖς δέξεται δωρήμασιν,
σμικρὸν μὲν ἐξαιτοῦντα, τοῦ μικροῦ δ' ἔτι
μεῖον φέροντα, καὶ τόδ' ἐξαρκοῦν ἐμοί;
στέργειν γὰρ αἱ πάθαι με χὠ χρόνος ξυνὼν
μακρὸς διδάσκει, καὶ τὸ γενναῖον τρίτον.
Ἀλλ', ὦ τέκνον, θάκησιν εἴ τινα βλέπεις
ἢ πρὸς βεβήλοις ἢ πρὸς ἄλσεσιν θεῶν,
στῆσόν με κἀξίδρυσον, ὡς πυθοίμεθα
ὅπου ποτ' ἐσμέν· μανθάνειν γὰρ ἥκομεν
ξένοι πρὸς ἀστῶν, ἃν 〈δ'〉 ἀκούσωμεν τελεῖν.
ΑΝΤΙΓΟΝΗ
Πάτερ ταλαίπωρ' Οἰδίπους, πύργοι μὲν οἳ
πόλιν στέγουσιν, ὡς ἀπ' ὀμμάτων, πρόσω·
χῶρος δ' ὅδ' ἱρός, ὡς σάφ' εἰκάσαι, βρύων
δάφνης, ἐλαίας, ἀμπέλου· πυκνόπτεροι δ' εἴσω κατ' αὐτὸν εὐστομοῦσ' ἀηδόνες·
οὗ κῶλα κάμψον τοῦδ' ἐπ' ἀξέστου πέτρου·
μακρὰν γὰρ ὡς γέροντι προὐστάλης ὁδόν.
ΟΙ.Κάθιζέ νύν με καὶ φύλασσε τὸν τυφλόν.
ΑΝ.Χρόνου μὲν οὕνεκ' οὐ μαθεῖν με δεῖ τόδε.
ΟΙ.Ἔχεις διδάξαι δή μ' ὅποι καθέσταμεν;
ΑΝ.Τὰς γοῦν Ἀθήνας οἶδα, τὸν δὲ χῶρον οὔ.

ΟΙ.Πᾶς γάρ τις ηὔδα τοῦτό γ’ ἡμὶν ἐμπόρων.
ΑΝ.Ἀλλ’ ὅστις ὁ τόπος ᾖ μάθω μολοῦσά ποι;
ΟΙ.Ναί, τέκνον, εἴπερ ἐστί γ’ ἐξοικήσιμος.
ΑΝ.Ἀλλ’ ἐστὶ μὴν οἰκητός· οἴομαι δὲ δεῖν
οὐδέν· πέλας γὰρ ἄνδρα τόνδε νῷν ὁρῶ.
ΟΙ.Ἦ δεῦρο προ〈σ〉στείχοντα κἀξορμώμενον;
ΑΝ.Καὶ δὴ μὲν οὖν παρόντα· χὤ τι σοι λέγειν
εὔκαιρόν ἐστιν, ἔννεφ’, ὡς ἁνὴρ ὅδε.
ΟΙ.Ὦ ξεῖν’, ἀκούων τῆσδε τῆς ὑπέρ τ’ ἐμοῦ
αὑτῆς θ’ ὁρώσης οὕνεχ’ ἡμὶν αἴσιος
σκοπὸς προσήκεις ὧν ἀδηλοῦμεν φράσαι—
ΞΕΝΟΣ
Πρίν νυν τὰ πλείον’ ἱστορεῖν, ἐκ τῆσδ’ ἕδρας
ἔξελθ’· ἔχεις γὰρ χῶρον οὐχ ἁγνὸν πατεῖν.
ΟΙ.Τίς δ’ ἔσθ’ ὁ χῶρος; τοῦ θεῶν νομίζεται;
ΞΕ.Ἄθικτος οὐδ’ οἰκητός· αἱ γὰρ ἔμφοβοι
θεαί σφ’ ἔχουσι, Γῆς τε καὶ Σκότου κόραι.
ΟΙ.Τίνων τὸ σεμνὸν ὄνομ’ ἂν εὐξαίμην κλύων;
ΞΕ.Τὰς πάνθ’ ὁρώσας Εὐμενίδας ὅ γ’ ἐνθάδ’ ἂν
εἴποι λεώς νιν· ἄλλα δ’ ἀλλαχοῦ καλά.
ΟΙ.Ἀλλ’ ἵλεῳ μὲν τὸν ἱκέτην δεξαίατο,
ὡς οὐχ ἕδρας γῆς τῆσδ’ ἂν ἐξέλθοιμ’ ἔτι.
ΞΕ.Τί δ’ ἐστὶ τοῦτο;
ΟΙ.Ξυμφορᾶς ξύνθημ’ ἐμῆς.
ΞΕ.Ἀλλ’ οὐδ’ ἐμόν τοι τοὐξανιστάναι πόλεως
δίχ’ ἐστὶ θάρσος, πρίν γ’ ἂν ἐνδείξω τί δρῶ.
ΟΙ.Πρός νυν θεῶν, ὦ ξεῖνε, μή μ’ ἀτιμάσῃς
τοιόνδ’ ἀλήτην ὧν σε προστρέπω φράσαι.
ΞΕ.Σήμαινε, κοὐκ ἄτιμος ἔκ γ’ ἐμοῦ φανῇ.
ΟΙ.Τίς δ’ ἔσθ’ ὁ χῶρος δῆτ’ ἐν ᾧ βεβήκαμεν;
ΞΕ.Ὅς’ οἶδα κἀγὼ πάντ’ ἐπιστήσῃ κλύων.
Χῶρος μὲν ἱρὸς πᾶς ὅδ’ ἔστ’· ἔχει δέ νιν
σεμνὸς Ποσειδῶν· ἐν δ’ ὁ πυρφόρος θεὸς
Τιτὰν Προμηθεύς· ὃν δ’ ἐπιστείβεις τόπον
χθονὸς καλεῖται τῆσδε χαλκόπους ὀδός,
ἔρεισμ’ Ἀθηνῶν· οἱ δὲ πλησίοι γύαι
τόνδ’ ἱππότην Κολωνὸν εὔχονται σφίσιν
ἀρχηγὸν εἶναι, καὶ φέρουσι τοὔνομα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ τοῦδε κοινὸν πάντες ὠνομασμένοι.
Τοιαῦτά σοι ταῦτ’ ἐστίν, ὦ ξέν’, οὐ λόγοις
τιμώμεν’, ἀλλὰ τῇ ξυνουσίᾳ πλέον.
ΟΙ.Ἦ γάρ τινες ναίουσι τούσδε τοὺς τόπους;
ΞΕ.Καὶ κάρτα, τοῦδε τοῦ θεοῦ γ’ ἐπώνυμοι.
ΟΙ.Ἄρχει τις αὐτῶν, ἢ ’πὶ τῷ πλήθει λόγος;
ΞΕ.Ἐκ τοῦ κατ’ ἄστυ βασιλέως τάδ’ ἄρχεται.
ΟΙ.Οὗτος δὲ τίς λόγῳ τε καὶ σθένει κρατεῖ;
ΞΕ.Θησεὺς καλεῖται, τοῦ πρὶν Αἰγέως τόκος.
ΟΙ.Ἆρ’ ἄν τις αὐτῷ πομπὸς ἐξ ὑμῶν μόλοι;
ΞΕ.Ὡς πρὸς τί; λέξων ἢ καταρτύσων μολεῖν;
ΟΙ.Ὡς ἂν προσαρκῶν μικρὰ κερδάνῃ μέγα.
ΞΕ.Καὶ τίς πρὸς ἀνδρὸς μὴ βλέποντος ἄρκεσις;
ΟΙ.Ὅς’ ἂν λέγωμεν πάνθ’ ὁρῶντα λέξομεν.
ΞΕ.Οἶσθ’, ὦ ξέν’, ὡς νῦν μὴ σφαλῇς; ἐπείπερ εἶ
γενναῖος, ὡς ἰδόντι, πλὴν τοῦ δαίμονος·
αὐτοῦ μέν’, οὗπερ κἀφάνης, ἕως ἐγὼ
τοῖς ἐνθάδ’ αὐτοῦ, μὴ κατ’ ἄστυ, δημόταις
λέξω τάδ’ ἐλθών· οἵδε γὰρ κρινοῦσί γε
εἰ χρή σε μίμνειν ἢ πορεύεσθαι πάλιν.
ΟΙ.Ὦ τέκνον, ἦ βέβηκεν ἡμὶν ὁ ξένος;
ΑΝ.Βέβηκεν, ὥστε πᾶν ἐν ἡσύχῳ, πάτερ,
ἔξεστι φωνεῖν, ὡς ἐμοῦ μόνης πέλας.
ΟΙ.Ὦ πότνιαι δεινῶπες, εὖτε νῦν ἕδρας
πρώτων ἐφ’ ὑμῶν τῆσδε γῆς ἔκαμψ’ ἐγώ,
Φοίβῳ τε κἀμοὶ μὴ γένησθ’ ἀγνώμονες,
ὅς μοι, τὰ πόλλ’ ἐκεῖν’ ὅτ’ ἐξέχρη κακά,
ταύτην ἔλεξε παῦλαν ἐν χρόνῳ μακρῷ
ἐλθόντι χώραν τερμίαν, ὅπου θεῶν
σεμνῶν ἕδραν λάβοιμι καὶ ξενόστασιν,
ἐνταῦθα κάμψειν τὸν ταλαίπωρον βίον,
κέρδη μὲν οἰκήσαντα τοῖς δεδεγμένοις,
ἄτην δὲ τοῖς πέμψασιν οἵ μ’ ἀπήλασαν.
σημεῖα δ’ ἥξειν τῶνδέ μοι παρηγγύα,
ἢ σεισμὸν ἢ βροντήν τιν’ ἢ Διὸς σέλας.
Ἔγνωκα μέν νυν ὥς με τήνδε τὴν ὁδὸν
οὐκ ἔσθ’ ὅπως οὐ πιστὸν ἐξ ὑμῶν πτερὸν
ἐξήγαγ’ εἰς τόδ’ ἄλσος· οὐ γὰρ ἄν ποτε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρώταισιν ὑμῖν ἀντέκυρσ᾽ ὁδοιπορῶν,
unit_27.1 νήφων ἀοίνοις, κἀπὶ σεμνὸν ἑζόμην
unit_27.2 βάθρον τόδ᾽ ἀσκέπαρνον. Ἀλλά μοι, θεαί,
unit_27.3 βίου κατ᾽ ὀμφὰς τὰς Ἀπόλλωνος δότε
unit_27.4 πέρασιν ἤδη καὶ καταστροφήν τινα,
unit_27.5 εἰ μὴ δοκῶ τι μειόνως ἔχειν, ἀεὶ
105.1 μόχθοις λατρεύων τοῖς ὑπερτάτοις βροτῶν.
105.2 Ἴτ᾽, ὦ γλυκεῖαι παῖδες ἀρχαίου Σκότου,
105.3 ἴτ᾽, ὦ μεγίστης Παλλάδος καλούμεναι
105.4 πασῶν Ἀθῆναι τιμιωτάτη πόλις,
105.5 οἰκτίρατ᾽ ἀνδρὸς Οἰδίπου τόδ᾽ ἄθλιον
110.1 εἴδωλον· οὐ γὰρ δὴ τόδ᾽ ἀρχαῖον δέμας.
110.2 ΑΝ.Σίγα· πορεύονται γὰρ οἵδε δή τινες
110.3 χρόνῳ παλαιοὶ σῆς ἕδρας ἐπίσκοποι.
110.4 ΟΙ.Σιγήσομαί τε καὶ σύ μ᾽ ἐξ ὁδοῦ πόδα
110.5 κρύψον κατ᾽ ἄλσος, τῶνδ᾽ ἕως ἂν ἐκμάθω
115 τίνας λόγους ἐροῦσιν· ἐν γὰρ τῷ μαθεῖν
unit_31 ἔνεστιν ηὑλάβεια τῶν ποιουμένων.
118 ΧΟΡΟΣ
118.1 Ὅρα· τίς ἄρ᾽ ἦν; ποῦ ναίει;Str. 1.
118.2 ποῦ κυρεῖ ἐκτόπιος συθείς,
120.1 ὁ πάντων, ὁ πάντων ἀκορέστατος;
120.2 προσδέρκου, λευστέον,
120.3 προσπεύθου πανταχῇ.
124 Πλανάτας, πλανάτας τις ὁ πρέσβυς, οὐδ᾽
125.1 ἔγχωρος· προσέβα γὰρ οὐκ
125.2 ἄν ποτ᾽ ἀστιβὲς ἄλσος ἐς
125.3 τᾶνδ᾽ ἀμαιμακετᾶν κορᾶν,
125.4 ἃς τρέμομεν λέγειν,
130.1 καὶ παραμειβόμεσθ᾽
130.2 ἀδέρκτως, ἀφώνως, ἀλόγως τὸ τᾶς
130.3 εὐφάμου στόμα φροντίδος
130.4 ἱέντες· τὰ δὲ νῦν τιν᾽ ἥ-
130.5 κειν λόγος οὐδὲν ἅζονθ᾽,
135.1 ὃν ἐγὼ λεύσσων περὶ πᾶν οὔπω
135.2 δύναμαι τέμενος
135.3 γνῶναι ποῦ μοί ποτε ναίει.
137.1 ΟΙ.Ὅδ᾽ ἐκεῖνος ἐγώ· φωνῇ γὰρ ὁρῶ,
137.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ φατιζόμενον.
140.1 ΧΟ.Ἰὼ ἰώ,
140.2 δεινὸς μὲν ὁρᾶν, δεινὸς δὲ κλύειν.
140.3 ΟΙ.Μή μ’, ἱκετεύω, προσίδητ’ ἄνομον.
140.4 ΧΟ.Ζεῦ Ἀλεξῆτορ, τίς ποθ’ ὁ πρέσβυς;
140.5 ΟΙ.Οὐ πάνυ μοίρας εὐδαιμονίσαι
145.1 πρώτης, ὦ τῆσδ’ ἔφοροι χώρας.
145.2 Δηλῶ δ’· οὐ γὰρ ἂν ὧδ’ ἀλλοτρίοις
145.3 ὄμμασιν εἷρπον,
145.4 κἀπὶ σμικροῖς μέγας ὥρμουν.
148 ΧΟ.Ἐή, ἀλαῶν ὀμμάτωνAnt. 1.
unit_43 ἆρα καὶ ἦσθα φυτάλμιος;
152.1 δυσαίων μακραίων θ’, ὅς’ ἐπεικάσαι.
152.2 Ἀλλ’ οὐ μὰν ἔν γ’ ἐμοὶ
152.3 προσθήσεις τάσδ’ ἀράς.
155.1 Περᾷς γάρ, περᾷς· ἀλλ’ ἵνα τῷδ’ ἐν ἀ-
155.2 φθέγκτῳ μὴ προπέσῃς νάπει
155.3 ποιάεντι, κάθυδρος οὗ
155.4 κρατὴρ μειλιχίων ποτῶν
160 ῥεύματι συντρέχει·
162.1 τῶν, ξένε πάμμορ’, εὖ
162.2 φύλαξαι· μετάσταθ’, ἀπόβαθι. Πολ-
162.3 λὰ κέλευθος ἐρατύει·
165.1 κλύεις, ὦ πολύμοχθ’ ἀλᾶ-
165.2 τα; λόγον εἴ τιν’ οἴσεις
165.3 πρὸς ἐμὰν λέσχαν, ἀβάτων ἀποβάς,
165.4 ἵνα πᾶσι νόμος
165.5 φώνει· πρόσθεν δ’ ἀπερύκου.
170.1 ΟΙ.Θύγατερ, ποῖ τις φροντίδος ἔλθῃ;
170.2 ΑΝ.Ὦ πάτερ, ἀστοῖς ἴσα χρὴ μελετᾶν
170.3 εἴκοντας ἃ δεῖ κἀκούοντας.
170.4 ΟΙ.Πρόσθιγέ νύν μου.
173.1 ΑΝ.Ψαύω καὶ δή.
173.2 ΟΙ.Ὦ ξεῖνοι, μὴ δῆτ’ ἀδικηθῶ
175.1 σοὶ πιστεύσας καὶ μεταναστάς.
175.2 ΧΟ.Οὔ τοι μήποτέ ς’ ἐκ τῶνδ’ ἑδράνων,
175.3 ὦ γέρον, ἄκοντά τις ἄξει.
177.1 ΟΙ.Ἔτ’ οὖν; [ἔτι προβῶ;]Str. 2.
177.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ΧΟ.Ἔτι βαῖνε πόρσω.
180 ΟΙ.Ἔτι;
180.1 ΧΟ.Προβίβαζε, κούρα,
180.2 πόρσω· σὺ γὰρ ἀΐεις.
180.3 ΑΝ.Ἕπεο μάν, ἕπε’ ὧδ’ ἀμαυρῷ—
182.1 ΟΙ.〈Ἰώ μοί μοι〉.
182.2 ΑΝ.κώλῳ, πάτερ, ᾇ ς’ ἄγω.
183 –– –
183 –– –– –
183.1 ΟΙ.–– ––
183.2 ΧΟ.Τόλμα ξεῖνος ἐπὶ ξένης,
185.1 ὦ τλάμων, ὅ τι καὶ πόλις
185.2 τέτροφεν ἄφιλον ἀποστυγεῖν
185.3 καὶ τὸ φίλον σέβεσθαι.
187 ΟΙ.Ἄγε νυν σύ με, παῖ,
unit_61 ἵν’ ἂν εὐσεβίας ἐπιβαίνοντες
190.1 τὸ μὲν εἴποιμεν, τὸ δ’ ἀκούσαιμεν,
190.2 καὶ μὴ χρείᾳ πολεμῶμεν.
190.3 ΧΟ.Αὐτοῦ· μηκέτι τοῦδ’ ἀντιπέτρου
190.4 βήματος ἔξω πόδα κλίνῃς.
193 ΟΙ.Οὕτως;Ant. 2.
194 ΧΟ.Ἅλις, ὡς ἀκούεις.
195 ΟΙ.Ἦ ’σθῶ;
195.1 ΧΟ.Λέχριός γ’ ἐπ’ ἄκρου
195.2 λάου βραχὺς ὀκλάσας.
195.3 ΑΝ.Πάτερ, ἐμὸν τόδ’· ἐν ἁσυχαίᾳ—
195.4 ΟΙ.Ἰώ μοί μοι.
195.5 ΑΝ.βάσει βάσιν ἅρμοσαι,
unit_67.1 γεραὸν ἐς χέρα σῶμα σὸν
unit_67.2 προκλίνας φιλίαν ἐμάν.
unit_67.3 ΟΙ.Ὤμοι δύσφρονος ἄτας.
unit_67.4 ΧΟ.Ὦ τλάμων, ὅτε νῦν χαλᾷς,
unit_67.5 αὔδασον, τίς ἔφυς βροτῶν;
205 τίς ὁ πολύπονος ἄγῃ; τίν’ ἂν
unit_69.1 σοῦ πατρίδ’ ἐκπυθοίμαν;
unit_69.2 ΟΙ.Ὦ ξένοι, ἀπόπτολις· ἀλλὰ μὴ—Epode.
unit_69.3 ΧΟ.Τί τόδ’ ἀπεννέπεις, γέρον;
210.1 ΟΙ.μή, μή μ’ ἀνέρῃ τίς εἰμι,
210.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μηδ’ ἐξετάσῃς πέρα ματεύων.
210.3 ΧΟ.Τί τόδ’;
212 ΟΙ.Αἰνὰ φύσις.
212.1 ΧΟ.Αὔδα.
212.2 ΟΙ.Τέκνον, ὤμοι, τί γεγώνω;
212.3 ΧΟ.Τίνος εἶ σπέρματος, 〈ὦ〉
215.1 ξένε, φώνει, πατρόθεν;
215.2 ΟΙ.Ὤμοι ἐγώ, τί πάθω, τέκνον ἐμόν;
215.3 ΑΝ.Λέγ’, ἐπείπερ ἐπ’ ἔσχατα βαίνεις.
215.4 ΟΙ.Ἀλλ’ ἐρῶ· οὐ γὰρ ἔχω κατακρυφάν.
215.5 ΧΟ.Μακρὰ μέλλετον, ἀλλὰ τάχυνε.
220 ΟΙ.Λαΐου ἴστε τιν’ ἔκγονον;
220.1 ΧΟ.Ἰού.
220.2 ΟΙ.Τό τε Λαβδακιδᾶν γένος;
221.1 ΧΟ.Ὦ Ζεῦ.
221.2 ΟΙ.Ἄθλιον Οἰδιπόδαν;
222.1 ΧΟ.Σὺ γὰρ ὅδ’ εἶ;
222.2 ΟΙ.Δέος ἴσχετε μηδὲν ὅς’ αὐδῶ.
222.3 ΧΟ.Ἰώ, ὢ ὤ.
224 ΟΙ.Δύσμορος.
224 ΧΟ.Ὢ ὤ.
225.1 ΟΙ.Θύγατερ, τί ποτ’ αὐτίκα κύρσει;
225.2 ΧΟ.Ἔξω πόρσω βαίνετε χώρας.
225.3 ΟΙ.Ἃ δ’ ὑπέσχεο ποῖ καταθήσεις;
225.4 ΧΟ.Οὐδενὶ μοιριδία τίσις ἔρχεται
225.5 ὧν προπάθῃ τὸ τίνειν· ἀπάτα δ’ ἀπά-
230.1 ταις ἑτέραις ἑτέρα παραβαλλομέ-
230.2 να πόνον, οὐ χάριν, ἀντιδίδωσιν ἔ-
230.3 χειν. Σὺ δὲ τῶνδ’ ἑδράνων πάλιν ἔκτοπος
230.4 αὖθις ἄφορμος ἐμᾶς χθονὸς ἔκθορε,
235.1 μή τι πέρα χρέος
235.2 ἐμᾷ πόλει προσάψῃς.
236.1 ΑΝ.Ὦ ξένοι αἰδόφρονες,
236.2 ἀλλ’ ἐπεὶ γεραὸν πατέρα
236.3 τόνδ’ ἐμὸν οὐκ ἀνέτλατ’, ἔργων
240.1 ἀκόντων ἀΐοντες αὐδάν,
240.2 ἀλλ’ ἐμὲ τὰν μελέαν, ἱκετεύομεν,
240.3 ὦ ξένοι, οἰκτίραθ’, ἃ
240.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πατρὸς ὑπὲρ τού〈του〉 μόνου ἄντομαι,
240.5 ἄντομαι οὐκ ἀλαοῖς προσορωμένα
245.1 ὄμμα σὸν ὄμμασιν, ὥς τις ἀφ’ αἵματος
245.2 ὑμετέρου προφανεῖσα, τὸν ἄθλιον
245.3 αἰδοῦς κῦρσαι· ἐν ὔμμι γὰρ ὡς θεῷ
245.4 κείμεθα τλάμονες· ἀλλ’ ἴτε, νεύσατε
unit_86 τὰν ἀδόκητον χάριν.
unit_87.1 Πρός ς’ ὅ τι σοι φίλον ἐκ σέθεν ἄντομαι,
unit_87.2 ἢ τέκνον ἢ λέχος ἢ χρέος ἢ θεός·
unit_87.3 οὐ γὰρ ἴδοις ἂν ἀθρῶν βροτὸν ὅστις ἄν,
unit_87.4 εἰ θεὸς ἄγοι,
253 ἐκφυγεῖν δύναιτο.
253 ΧΟ.Ἀλλ’ ἴσθι, τέκνον Οἰδίπου, σέ τ’ ἐξ ἴσου
255.1 οἰκτίρομεν καὶ τόνδε συμφορᾶς χάριν·
255.2 τὰ δ’ ἐκ θεῶν τρέμοντες οὐ σθένοιμεν ἂν
255.3 φωνεῖν πέρα τῶν πρὸς σὲ νῦν εἰρημένων.
255.4 ΟΙ.Τί δῆτα δόξης, ἢ τί κληδόνος καλῆς
255.5 μάτην ῥεούσης ὠφέλημα γίγνεται,
260.1 εἰ τάς γ’ Ἀθήνας φασὶ θεοσεβεστάτας
260.2 εἶναι, μόνας δὲ τὸν κακούμενον ξένον
260.3 σῴζειν οἵας τε καὶ μόνας ἀρκεῖν ἔχειν,
260.4 κἀμοίγε ποῦ ταῦτ’ ἐστίν, οἵτινες βάθρων
260.5 ἐκ τῶνδέ μ’ ἐξάραντες εἶτ’ ἐλαύνετε,
265.1 ὄνομα μόνον δείσαντες; οὐ γὰρ δὴ τό γε
265.2 σῶμ’ οὐδὲ τἄργα τἄμ’, ἐπεὶ τά γ’ ἔργα μου
265.3 πεπονθότ’ ἐστὶ μᾶλλον ἢ δεδρακότα,
265.4 εἴ σοι τὰ μητρὸς καὶ πατρὸς χρείη λέγειν,
265.5 ὧν οὕνεκ’ ἐκφοβῇ με, τοῦτ’ ἐγὼ καλῶς
270.1 ἔξοιδα· καίτοι πῶς ἐγὼ κακὸς φύσιν,
270.2 ὅστις παθὼν μὲν ἀντέδρων, ὥστ’ εἰ φρονῶν
270.3 ἔπρασσον, οὐδ’ ἂν ὧδ’ ἐγιγνόμην κακός;
270.4 Νῦν δ’ οὐδὲν εἰδὼς ἱκόμην ἵν’ ἱκόμην,
270.5 ὑφ’ ὧν δ’ ἔπασχον εἰδότων ἀπωλλύμην.
275.1 Ἀνθ’ ὧν ἱκνοῦμαι πρὸς θεῶν ὑμᾶς, ξένοι,
275.2 ὥσπερ με κἀνεστήσαθ’, ὧδε σώσατε,
unit_95.1 καὶ μὴ θεοὺς τιμῶντες εἶτα τοὺς θεοὺς
unit_95.2 μοίραις ποιεῖσθ’ ἐν μηδαμαῖς, ἡγεῖσθε δὲ
unit_95.3 βλέπειν μὲν αὐτοὺς πρὸς τὸν εὐσεβῆ βροτῶν,
280.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βλέπειν δὲ πρὸς τοὺς δυσσεβεῖς, φυγὴν δέ που
μήπω γενέσθαι φωτὸς ἀνοσίου θεῶν.
Ξὺν οἷς σὺ μὴ κάλυπτε τὰς εὐδαίμονας
ἔργοις Ἀθήνας ἀνοσίοις ὑπηρετῶν,
ἀλλ’ ὥσπερ ἔλαβες τὸν ἱκέτην ἐχέγγυον,
ῥύου με κἀκφύλασσε· μηδέ μου κάρα
τὸ δυσπρόσοπτον εἰσορῶν ἀτιμάσῃς.
Ἥκω γὰρ ἱερὸς εὐσεβής τε καὶ φέρων
ὄνησιν ἀστοῖς τοῖσδ’· ὅταν δ’ ὁ κύριος
παρῇ τις, ὑμῶν ὅστις ἐστὶν ἡγεμών,
τότ’ εἰσακούων πάντ’ ἐπιστήσῃ· τὰ δὲ
μεταξὺ τούτου μηδαμῶς γίγνου κακός.
ΧΟ.Ταρβεῖν μέν, ὦ γεραιέ, τἀνθυμήματα
πολλή ’στ’ ἀνάγκη τἀπὸ σοῦ· λόγοισι γὰρ
οὐκ ὠνόμασται βραχέσι· τοὺς δὲ τῆσδε γῆς
ἄνακτας ἀρκεῖ ταῦτά μοι διειδέναι.
ΟΙ.Καὶ ποῦ ’σθ’ ὁ κραίνων τῆσδε τῆς χώρας, ξένοι;
ΧΟ.Πατρῷον ἄστυ γῆς ἔχει· σκοπὸς δέ νιν,
ὃς κἀμὲ δεῦρ’ ἔπεμψεν, οἴχεται στελῶν.
ΟΙ.Ἦ καὶ δοκεῖτε τοῦ τυφλοῦ τιν’ ἐντροπὴν
ἢ φροντίδ’ ἕξειν, αὐτὸν ὥστ’ ἐλθεῖν πέλας;
ΧΟ.Καὶ κάρθ’, ὅταν περ τοὔνομ’ αἴσθηται τὸ σόν.
ΟΙ.Τίς δ’ ἔσθ’ ὁ κείνῳ τοῦτο τοὔπος ἀγγελῶν;
ΧΟ.Μακρὰ κέλευθος· πολλὰ δ’ ἐμπόρων ἔπη
φιλεῖ πλανᾶσθαι, τῶν ἐκεῖνος ἀΐων,
θάρσει, παρέσται· πολὺ γάρ, ὦ γέρον, τὸ σὸν
ὄνομα διήκει πάντας, ὥστε κεἰ βραδὺς
εὕδει, κλύων σοῦ δεῦρ’ ἀφίξεται ταχύς.
ΟΙ.Ἀλλ’ εὐτυχὴς ἵκοιτο τῇ θ’ αὑτοῦ πόλει
ἐμοί τε· τίς γὰρ ἐσθλὸς οὐχ αὑτῷ φίλος;
ΑΝ.Ὦ Ζεῦ, τί λέξω; ποῖ φρενῶν ἔλθω, πάτερ;
ΟΙ.Τί δ’ ἔστι, τέκνον Ἀντιγόνη;
ΑΝ.Γυναῖχ’ ὁρῶ
στείχουσαν ἡμῶν ἆσσον, Αἰτναίας ἐπὶ
πώλου βεβῶσαν· κρατὶ δ’ ἡλιοστερὴς
κυνῆ πρόσωπα Θεσσαλίς νιν ἀμπέχει.
Τί φῶ;
ἆρ’ ἔστιν; ἆρ’ οὐκ ἔστιν; ἡ γνώμη πλανᾷ,

καὶ φημὶ κἀπόφημι, κοὐκ ἔχω τί φῶ.
315.4 Τάλαινα,
315.5 οὐκ ἔστιν ἄλλη· φαιδρὰ γοῦν ἀπ’ ὀμμάτων
320.1 σαίνει με προσστείχουσα, σημαίνει δέ τι·
320.2 μόνης τόδ’ ἐστί, δῆλον, Ἰσμήνης κάρα.
320.3 ΟΙ.Πῶς εἶπας, ὦ παῖ;
322.1 ΑΝ.Παῖδα σήν, ἐμὴν δ’ ὁρᾶν
322.2 ὅμαιμον· αὐδῇ δ’ αὐτίκ’ ἔξεστιν μαθεῖν.
322.3 ΙΣΜΗΝΗ
324 Ὦ δισσὰ πατρὸς καὶ κασιγνήτης ἐμοὶ
325 ἥδιστα προσφωνήμαθ’, ὡς ὑμᾶς μόλις
unit_110.1 εὑροῦσα λύπῃ δεύτερον μόλις βλέπω.
unit_110.2 ΟΙ.Ὦ τέκνον, ἥκεις;
327 ΙΣ.Ὦ πάτερ δύσμοιρ’ ὁρᾶν.
329 ΟΙ.Τέκνον, πέφηνας;
329 ΙΣ.Οὐκ ἄνευ μόχθου γέ μοι.
330 ΟΙ.Πρόσψαυσον, ὦ παῖ.
330 ΙΣ.Θιγγάνω δυοῖν ὁμοῦ.
328 ΟΙ.Ὦ σπέρμ’ ὅμαιμον.
328 ΙΣ.Ὦ δυσάθλιαι τροφαί.
331 ΟΙ.Ἦ τῆσδε κἀμοῦ;
331.1 ΙΣ.Δυσμόρου δ’ ἐμοῦ τρίτης.
331.2 ΟΙ.Τέκνον, τί δ’ ἦλθες;
332.1 ΙΣ.Σῇ, πάτερ, προμηθίᾳ.
332.2 ΟΙ.Πότερα πόθοισι;
333.1 ΙΣ.Καὶ λόγων γ’ αὐτάγγελος
333.2 ξὺν ᾧπερ εἶχον οἰκετῶν πιστῷ μόνῳ.
335.1 ΟΙ.Οἱ δ’ αὐθόμαιμοι ποῖ νεανίαι πονεῖν;
335.2 ΙΣ.Εἴς’ οὗπέρ εἰσι· δεινὰ δ’ ἐν κείνοις τὰ νῦν.
335.3 ΟΙ.Ὦ πάντ’ ἐκείνω τοῖς ἐν Αἰγύπτῳ νόμοις
335.4 φύσιν κατεικασθέντε καὶ βίου τροφάς·
335.5 ἐκεῖ γὰρ οἱ μὲν ἄρσενες κατὰ στέγας
340.1 θακοῦσιν ἱστουργοῦντες, αἱ δὲ σύννομοι
340.2 τἄξω βίου τροφεῖα πορσύνους’ ἀεί.
340.3 Σφῷν δ’, ὦ τέκν’, οὓς μὲν εἰκὸς ἦν πονεῖν τάδε,
340.4 κατ’ οἶκον οἰκουροῦσιν ὥστε παρθένοι,
unit_124 σφὼ δ’ ἀντ’ ἐκείνων τἀμὰ δυστήνου κακὰ
345.1 ὑπερπονεῖτον, ἡ μέν, ἐξ ὅτου νέας
345.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τροφῆς ἔληξε καὶ κατίσχυσεν δέμας,
ἀεὶ μεθ’ ἡμῶν δύσμορος πλανωμένη
γερονταγωγεῖ, πολλὰ μὲν κατ’ ἀγρίαν
ὕλην ἄσιτος νηλίπους τ’ ἀλωμένη,
πολλοῖσι δ’ ὄμβροις ἡλίου τε καύμασι
μοχθοῦσα τλήμων δεύτερ’ ἡγεῖται τὰ τῆς
οἴκοι διαίτης, εἰ πατὴρ τροφὴν ἔχοι·
σὺ δ’, ὦ τέκνον, πρόσθεν μὲν ἐξίκου πατρὶ
μαντεῖ’ ἄγουσα πάντα, Καδμείων λάθρᾳ.
ἃ τοῦδ’ ἐχρήσθη σώματος, φύλαξ δέ μου
πιστὴ κατέστης, γῆς ὅτ’ ἐξηλαυνόμην.
Νῦν δ’ αὖ τίν’ ἥκεις μῦθον, Ἰσμήνη, πατρὶ
φέρουσα; τίς ς’ ἐξῆρεν οἴκοθεν στόλος;
ἥκεις γὰρ οὐ κενή γε, τοῦτ’ ἐγὼ σαφῶς
ἔξοιδα, μὴ οὐχὶ δεῖμ’ ἐμοὶ φέρουσά τι.
ΙΣ.Ἐγὼ τὰ μὲν παθήμαθ’ ἅπαθον, πάτερ,
ζητοῦσα τὴν σὴν ποῦ κατοικοίης τροφήν,
παρεῖς’ ἐάσω· δὶς γὰρ οὐχὶ βούλομαι
πονοῦσά τ’ ἀλγεῖν καὶ λέγους’ αὖθις πάλιν.
Ἃ δ’ ἀμφὶ τοῖν σοῖν δυσμόροιν παίδοιν κακὰ
νῦν ἐστι, ταῦτα σημανοῦς’ ἐλήλυθα.
Πρὶν μὲν γὰρ αὐτοῖς ἦν ἔρις Κρέοντί τε
θρόνους ἐᾶσθαι μηδὲ χραίνεσθαι πόλιν,
λόγῳ σκοποῦσι τὴν πάλαι γένους φθορὰν
οἵα κατέσχε τὸν σὸν ἄθλιον δόμον·
νῦν δ’ ἐκ θεῶν του κἀξ ἀλιτηροῦ φρενὸς
εἰσῆλθε τοῖν τρὶς ἀθλίοιν ἔρις κακὴ
ἀρχῆς λαβέσθαι καὶ κράτους τυραννικοῦ.
Χὠ μὲν νεάζων καὶ χρόνῳ μείων γεγὼς
τὸν πρόσθε γεννηθέντα Πολυνείκη θρόνων
ἀποστερίσκει κἀξελήλακεν πάτρας.
Ὁ δ’, ὡς καθ’ ἡμᾶς ἔσθ’ ὁ πληθύων λόγος,
τὸ κοῖλον Ἄργος βὰς φυγάς, προσλαμβάνει
κῆδός τε καινὸν καὶ ξυνασπιστὰς φίλους,
ὡς αὐτίκ’ Ἄργος ἢ τὸ Καδμείων πέδον
πάλῃ καθέξον ἢ πρὸς οὐρανὸν βιβῶν.
Ταῦτ’ οὐκ ἀριθμός ἐστιν, ὦ πάτερ, λόγων,
ἀλλ’ ἔργα δεινά· τοὺς δὲ σοὺς ὅποι θεοὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πόνους κατοικτιοῦσιν οὐκ ἔχω μαθεῖν.
ΟΙ.Ἤδη γὰρ ἔσχες ἐλπίδ’ ὡς ἐμοῦ θεοὺς
ὤραν τιν’ ἕξειν, ὥστε σωθῆναί ποτε;
ΙΣ.Ἔγωγε τοῖς νῦν γ’, ὦ πάτερ, μαντεύμασιν.
ΟΙ.Ποίοισι τούτοις; τί δὲ τεθέσπισται, τέκνον;
ΙΣ.Σὲ τοῖς ἐκεῖ ζητητὸν ἀνθρώποις ποτὲ
θανόντ’ ἔσεσθαι ζῶντά τ’ εὐσοίας χάριν.
ΟΙ.Τίς δ’ ἂν τοιοῦδ’ ὑπ’ ἀνδρὸς εὖ πράξειεν ἄν;
ΙΣ.Ἐν σοὶ τὰ κείνων φασὶ γίγνεσθαι κράτη.
ΟΙ.Ὅτ’ οὐκέτ’ εἰμί, τηνικαῦτ’ ἄρ’ εἴμ’ ἀνήρ;
ΙΣ.Νῦν γὰρ θεοί ς’ ὀρθοῦσι, πρόσθε δ’ ὤλλυσαν.
ΟΙ.Γέροντα δ’ ὀρθοῦν φλαῦρον ὃς νέος πέσῃ.
ΙΣ.Καὶ μὴν Κρέοντά γ’ ἴσθι σοι τούτων χάριν
ἥξοντα βαιοῦ κοὐχὶ μυρίου χρόνου.
ΟΙ.Ὅπως τί δράσῃ, θύγατερ; ἑρμήνευέ μοι.
ΙΣ.Ὥς ς’ ἄγχι γῆς στήσωσι Καδμείας, ὅπως
κρατῶσι μὲν σοῦ, γῆς δὲ μὴ ’μβαίνῃς ὅρων.
ΟΙ.Ἡ δ’ ὠφέλησις τίς θύρασι κειμένου;
ΙΣ.Κείνοις ὁ τύμβος δυστυχῶν ὁ σὸς βαρύς.
ΟΙ.Κἄνευ θεοῦ τις τοῦτό γ’ ἂν γνώμῃ μάθοι.
ΙΣ.Τούτου χάριν τοίνυν σε προσθέσθαι πέλας
χώρας θέλουσι, μηδ’ ἵν’ ἂν σαυτοῦ κρατοῖς.
ΟΙ.Ἦ καὶ κατασκιῶσι Θηβαίᾳ κόνει;
ΙΣ.Ἀλλ’ οὐκ ἐᾷ τοὔμφυλον αἷμά ς’, ὦ πάτερ.
ΟΙ.Οὐκ ἆρ’ ἐμοῦ γε μὴ κρατήσωσίν ποτε.
ΙΣ.Ἔσται ποτ’ ἆρα τοῦτο Καδμείοις βάρος.
ΟΙ.Ποίας φανείσης, ὦ τέκνον, συναλλαγῆς;
ΙΣ.Τῆς σῆς ὑπ’ ὀργῆς, σοῖς ὅταν στῶσιν τάφοις.
ΟΙ.Ἃ δ’ ἐννέπεις κλύουσα τοῦ λέγεις, τέκνον;
ΙΣ.Ἀνδρῶν θεωρῶν Δελφικῆς ἀφ’ ἑστίας.
ΟΙ.Καὶ ταῦτ’ ἐφ’ ἡμῖν Φοῖβος εἰρηκὼς κυρεῖ;
ΙΣ.Ὥς φασὶν οἱ μολόντες εἰς Θήβης πέδον.
ΟΙ.Παίδων τις οὖν ἤκουσε τῶν ἐμῶν τάδε;
ΙΣ.Ἄμφω γ’ ὁμοίως, κἀξεπίστασθον καλῶς.
ΟΙ.Κᾆθ’ οἱ κάκιστοι τῶνδ’ ἀκούσαντες πάρος
τοὐμοῦ πόθου προὔθεντο τὴν τυραννίδα;
ΙΣ.Ἀλγῶ κλύουσα ταῦτ’ ἐγώ, φέρω δ’ ὅμως.
ΟΙ.Ἀλλ’ οἱ θεοί σφιν μήτε τὴν πεπρωμένην

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔριν κατασβέσειαν, ἐν δ’ ἐμοὶ τέλος
αὐτοῖν γένοιτο τῆσδε τῆς μάχης πέρι,
ἧς νῦν ἔχονται κἀπαναίρονται δόρυ·
ὡς οὔτ’ ἂν ὃς νῦν σκῆπτρα καὶ θρόνους ἔχει
μείνειεν, οὔτ’ ἂν οὑξεληλυθὼς πάλιν
ἔλθοι ποτ’ αὖθις· οἵ γε τὸν φύσαντ’ ἐμὲ
οὕτως ἀτίμως πατρίδος ἐξωθούμενον
οὐκ ἔσχον οὐδ’ ἤμυναν, ἀλλ’ ἀνάστατος
αὐτοῖν ἐπέμφθην κἀξεκηρύχθην φυγάς.
Εἴποις ἂν ὡς θέλοντι τοῦτ’ ἐμοὶ τότε
πόλις τὸ δῶρον εἰκότως κατῄνεσεν.
Οὐ δῆτ’, ἐπεί τοι τὴν μὲν αὐτίχ’ ἡμέραν,
ὁπηνίκ’ ἔζει θυμός, ἥδιστον δέ μοι
τὸ κατθανεῖν ἦν καὶ τὸ λευσθῆναι πέτροις,
οὐδεὶς ἐρῶντος τοῦδ’ ἐφαίνετ’ ὠφελῶν·
χρόνῳ δ’, ὅτ’ ἤδη πᾶς ὁ μόχθος ἦν πέπων,
κἀμάνθανον τὸν θυμὸν ἐκδραμόντα μοι
μείζω κολαστὴν τῶν πρὶν ἡμαρτημένων,
τὸ τηνίκ’ ἤδη τοῦτο μὲν πόλις βίᾳ
ἤλαυνέ μ’ ἐκ γῆς χρόνιον, οἱ δ’ ἐπωφελεῖν,
οἱ τοῦ πατρὸς τῷ πατρὶ δυνάμενοι τὸ δρᾶν
οὐκ ἠθέλησαν, ἀλλ’ ἔπους μικροῦ χάριν
φυγάς σφιν ἔξω πτωχὸς ἠλώμην ἀεί.
Ἐκ ταῖνδε δ’ οὔσαιν παρθένοιν, ὅσον φύσις
δίδωσιν αὐταῖν, καὶ τροφὰς ἔχω βίου
καὶ γῆς ἄδειαν καὶ γένους ἐπάρκεσιν·
τὼ δ’ ἀντὶ τοῦ φύσαντος εἱλέσθην θρόνους
καὶ σκῆπτρα κραίνειν καὶ τυραννεύειν χθονός.
Ἀλλ’ οὔ τι μὴ λάχωσι τοῦδε συμμάχου,
οὔτε σφιν ἀρχῆς τῆσδε Καδμείας ποτὲ
ὄνησις ἥξει· τοῦτ’ ἐγᾦδα, τῆσδέ τε
μαντεῖ’ ἀκούων, συννοῶν τε τἀξ ἐμοῦ
παλαίφαθ’ ἅ μοι Φοῖβος ἤνυσέν ποτε.
Πρὸς ταῦτα καὶ Κρέοντα πεμπόντων ἐμοῦ
μαστῆρα, κεἴ τις ἄλλος ἐν πόλει σθένει·
ἐὰν γὰρ ὑμεῖς, ὦ ξένοι, θέλητέ μου
σὺν ταῖσδε ταῖς σεμναῖσι δημούχοις θεαῖς
ἀλκὴν ποεῖσθαι, τῇδε μὲν πόλει μέγαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σωτῆρ’ ἀρεῖσθε, τοῖς δ’ ἐμοῖς ἐχθροῖς πόνους.
ΧΟ.Ἐπάξιος μέν, Οἰδίπους, κατοικτίσαι,
αὐτός τε παῖδές θ’ αἵδ’· ἐπεὶ δὲ τῆσδε γῆς
σωτῆρα σαυτὸν τῷδ’ ἐπεμβάλλεις λόγῳ,
παραινέσαι σοι βούλομαι τὰ σύμφορα.
ΟΙ.Ὦ φίλταθ’, ὡς νῦν πᾶν τελοῦντι προξένει.
ΧΟ.Θοῦ νῦν καθαρμὸν τῶνδε δαιμόνων, ἐφ’ ἃς
τὸ πρῶτον ἵκου καὶ κατέστειψας πέδον.
ΟΙ.Τρόποισι ποίοις; ὦ ξένοι, διδάσκετε.
ΧΟ.Πρῶτον μὲν ἱρὰς ἐξ ἀειρύτου χοὰς
κρήνης ἐνεγκοῦ δι’ ὁσίων χειρῶν θιγών.
ΟΙ.Ὅταν δὲ τοῦτο χεῦμ’ ἀκήρατον λάβω;
ΧΟ.Κρατῆρές εἰσιν, ἀνδρὸς εὔχειρος τέχνη,
ὧν κρᾶτ’ ἔρεψον καὶ λαβὰς ἀμφιστόμους.
unit_153 ΟΙ.Θαλλοῖσιν, ἢ κρόκαισιν, ἢ ποίῳ τρόπῳ;
ΧΟ.Οἰός 〈γε〉 νεαρᾶς νεοπόκῳ μαλλῷ λαβών.
ΟΙ.Εἶεν· τὸ δ’ ἔνθεν ποῖ τελευτῆσαί με χρή;
ΧΟ.Χοὰς χέασθαι στάντα πρὸς πρώτην ἕω.
ΟΙ.Ἦ τοῖσδε κρωσσοῖς οἷς λέγεις χέω τάδε;
ΧΟ.Τρισσάς γε πηγάς· τὸν τελευταῖον δ’ ὅλον.
ΟΙ.Τοῦ τόνδε πλήσας θῶ; δίδασκε καὶ τόδε.
ΧΟ.Ὕδατος, μελίσσης· μηδὲ προσφέρειν μέθυ.
ΟΙ.Ὅταν δὲ τούτων γῆ μελάμφυλλος τύχῃ;
ΧΟ.Τρὶς ἐννέ’ αὐτῇ κλῶνας ἐξ ἀμφοῖν χεροῖν
τιθεὶς ἐλαίας, τάσδ’ ἐπεύχεσθαι λιτάς—
ΟΙ.Τούτων ἀκοῦσαι βούλομαι· μέγιστα γάρ.
ΧΟ.Ὥς σφας καλοῦμεν Εὐμενίδας, ἐξ εὐμενῶν
στέρνων δέχεσθαι τὸν ἱκέτην σωτήριον
αἰτοῦ σύ τ’ αὐτὸς κεἴ τις ἄλλος ἀντὶ σοῦ,
ἄπυστα φωνῶν μηδὲ μηκύνων βοήν·
ἔπειτ’ ἀφέρπειν ἄστροφος. Καὶ ταῦτά σοι
δράσαντι θαρσῶν ἂν παρασταίην ἐγώ,
ἄλλως δὲ δειναίνοιμ’ ἄν, ὦ ξέν’, ἀμφὶ σοί.
ΟΙ.Ὦ παῖδε, κλύετον τῶνδε προσχώρων ξένων;
ΙΣ.Ἠκούσαμέν τε χὤ τι δεῖ πρόσταζε δρᾶν.
ΟΙ.Ἐμοὶ μὲν οὐχ ὁδωτά· λείπομαι γὰρ ἐν
τῷ μὴ δύνασθαι μήθ’ ὁρᾶν, δυοῖν κακοῖν·
σφῷν δ’ ἁτέρα μολοῦσα πραξάτω τάδε.
unit_159.1

Ἀρκεῖν γὰρ οἶμαι κἀντὶ μυρίων μίαν
unit_159.2 ψυχὴν τάδ’ ἐκτίνουσαν, ἢν εὔνους παρῇ.
unit_160.1 Ἀλλ’ ἐν τάχει τι πράσσετον· μόνον δέ με
unit_160.2 μὴ λείπετ’· οὐ γὰρ ἂν σθένοι τοὐμὸν δέμας
unit_160.3 ἔρημον ἕρπειν οὐδ’ ὑφηγητοῦ δίχα.
unit_160.4 ΙΣ.Ἀλλ’ εἶμ’ ἐγὼ τελοῦσα· τὸν τόπον δ’ ἵνα
unit_160.5 χρῆσταί μ’ ἐφευρεῖν, τοῦτο βούλομαι μαθεῖν.
505.1 ΧΟ.Τοὐκεῖθεν ἄλσους, ὦ ξένη, τοῦδ’. Ἢν δέ του
505.2 σπάνιν τιν’ ἴσχῃς, ἔστ’ ἔποικος ὃς φράσει.
505.3 ΙΣ.Χωροῖμ’ ἂν ἐς τόδ’· Ἀντιγόνη, σὺ δ’ ἐνθάδε
505.4 φύλασσε πατέρα τόνδε· τοῖς τεκοῦσι γὰρ
505.5 οὐδ’ εἰ πονεῖ τις, δεῖ πόνου μνήμην ἔχειν.
510.1 ΧΟ.Δεινὸν μὲν τὸ πάλαι κείμενον ἤδηStr. 1.
510.2 κακόν, ὦ ξεῖν’, ἐπεγείρειν·
510.3 ὅμως δ’ ἔραμαί 〈τι〉 πυθέσθαι—
512.1 ΟΙ.Τί τοῦτο;
512.2 ΧΟ.τᾶς δειλαίας ἀπόρου φανείσας
512.3 ἀλγηδόνος, ᾇ ξυνέστας.
515.1 ΟΙ.Μὴ πρὸς ξενίας ἀνοίξῃς
515.2 τᾶς σᾶς· γέγον’ ἔργ’ ἀναιδῆ.
515.3 ΧΟ.Τό τοι πολὺ καὶ μηδαμὰ λῆγον
515.4 χρῄζω, ξεῖν’, ὀρθὸν ἄκουσμ’ ἀκοῦσαι.
515.5 ΟΙ.Ὤμοι.
519 ΧΟ.Στέρξον, ἱκετεύω.
520 ΟΙ.Φεῦ φεῦ.
520.1 ΧΟ.Πείθου· κἀγὼ γὰρ ὅσον σὺ προσχρῄζεις.
520.2 ΟΙ.Ἤνεγκον κακότατ’, ὦ ξένοι, ἤνεγκ’Ant. 1.
520.3 ἀέκων μέν, θεὸς ἴστω·
520.4 τούτων δ’ αὐθαίρετον οὐδέν.
520.5 ΧΟ.Ἀλλ’ ἐς τί;
525.1 ΟΙ.Κακᾷ μ’ εὐνᾷ πόλις οὐδὲν ἴδρις
525.2 γάμων ἐνέδησεν ἄτᾳ.
525.3 ΧΟ.Ἦ ματρόθεν, ὡς ἀκούω,
525.4 δυσώνυμα λέκτρ’ ἐπλήσω;
525.5 ΟΙ.Ὤμοι, θάνατος μὲν τάδ’ ἀκούειν,
530.1 ὦ ξεῖν’· αὗται δὲ δύ’ ἐξ ἐμοῦ 〈μὲν〉—
530.2 ΧΟ.Πῶς φῄς;
531.1 ΟΙ.παῖδε, δύο δ’ ἄτα—
531.2

ΧΟ.Ὦ Ζεῦ.

531.3 ΟΙ.ματρὸς κοινᾶς ἀπέβλαστον ὠδῖνος.

533 ΧΟ.Σαί τἄρ’ ἀπόγονοί τ’ εἰσὶ καὶ—Str. 2.

535.1 ΟΙ.Κοιναί γε πατρὸς ἀδελφεαί.

535.2 ΧΟ.Ἰώ.

536.1 ΟΙ.Ἰὼ δῆτα μυρίων γ’ ἐπιστροφαὶ κακῶν.

536.2 ΧΟ.Ἔπαθες—

unit_174.1 ΟΙ.Ἔπαθον ἄλαστ’ ἔχειν.

unit_174.2 ΧΟ.Ἔρεξας—

539 ΟΙ.Οὐκ ἔρεξα.

539 ΧΟ.Τί γάρ;

539 ΟΙ.Ἐδεξάμην

540.1 δῶρον ὃ μήποτ’ ἐγὼ ταλακάρδιος

540.2 ἐπωφελήσας πόλεος ἐξελέσθαι.

541.1 ΧΟ.Δύστανε, τί γάρ; ἔθου φόνον—Ant. 2.

541.2 ΟΙ.Τί τοῦτο; τί δ’ ἐθέλεις μαθεῖν;

541.3 ΧΟ.πατρός;

544 ΟΙ.Παπαῖ, δευτέραν ἔπαισας, ἐπὶ νόσῳ νόσον.

545 ΧΟ.Ἔκανες—

545.1 ΟΙ.Ἔκανον. Ἔχει δέ μοι—

545.2 ΧΟ.Τί τοῦτο;

546 ΟΙ.πρὸς δίκας τι.

546 ΧΟ.Τί γάρ;

546.1 ΟΙ.Ἐγὼ φράσω·

546.2 καὶ γὰρ ἄνους ἐφόνευσα καὶ ὤλεσα·

546.3 νόμῳ δὲ καθαρός, ἄϊδρις ἐς τόδ’ ἦλθον.

548 ΧΟ.Καὶ μὴν ἄναξ ὅδ’ ἡμὶν Αἰγέως γόνος

unit_187.1 Θησεὺς κατ’ ὀμφὴν σὴν ἀποσταλεὶς πάρα.

unit_187.2 ΘΗΣΕΥΣ

551.1 Πολλῶν ἀκούων ἔν τε τῷ πάρος χρόνῳ

551.2 τὰς αἱματηρὰς ὀμμάτων διαφθορὰς

unit_189.1 ἔγνωκά ς’, ὦ παῖ Λαΐου, τανῦν θ’ ὁδοῖς

unit_189.2 ἐν ταῖσδ’ ἀκούων μᾶλλον ἐξεπίσταμαι.

555.1 Σκευή τε γάρ σε καὶ τὸ δύστηνον κάρα

555.2 δηλοῦτον ἡμῖν ὄνθ’ ὃς εἶ, καί ς’ οἰκτίσας

555.3 θέλω ’περέσθαι, δύσμορ’ Οἰδίπου, τίνα

555.4 πόλεως ἐπέστης προστροπὴν ἐμοῦ τ’ ἔχων.

555.5 αὐτός τε χἠ σὴ δύσμορος παραστάτις.

560.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Δίδασκε· δεινὴν γάρ τιν’ ἂν πρᾶξιν τύχοις
λέξας ὁποίας ἐξαφισταίμην ἐγώ,
ὃς οἶδα καὐτὸς ὡς ἐπαιδεύθην ξένος,
ὥσπερ σύ, χὣς τις πλεῖστ’ ἀνὴρ ἐπὶ ξένης
ἤθλησα κινδυνεύματ’ ἐν τὠμῷ κάρᾳ·
ὥστε ξένον γ’ ἂν οὐδέν’ ὄνθ’, ὥσπερ σὺ νῦν,
ὑπεκτραποίμην μὴ οὐ συνεκσῴζειν· ἐπεὶ
ἔξοιδ’ ἀνὴρ ὢν χὤτι τῆς ἐς αὔριον
οὐδὲν πλέον μοι σοῦ μέτεστιν ἡμέρας.
ΟΙ.Θησεῦ, τὸ σὸν γενναῖον ἐν σμικρῷ λόγῳ
παρῆκεν ὥστε βραχέ’ ἐμοὶ δεῖσθαι φράσαι·
σὺ γάρ μ’ ὅς εἰμι κἀφ’ ὅτου πατρὸς γεγὼς
καὶ γῆς ὁποίας ἦλθον, εἰρηκὼς κυρεῖς·
ὥστ’ ἐστί μοι τὸ λοιπὸν οὐδὲν ἄλλο πλὴν
εἰπεῖν ἃ χρῄζω, χὠ λόγος διοίχεται.
ΘΗ.Τοῦτ’ αὐτὸ νῦν δίδασχ’, ὅπως ἂν ἐκμάθω.
ΟΙ.Δώσων ἱκάνω τοὐμὸν ἄθλιον δέμας
σοὶ δῶρον, οὐ σπουδαῖον εἰς ὄψιν· τὰ δὲ
κέρδη παρ’ αὐτοῦ κρείσσον’ ἢ μορφὴ καλή.
ΘΗ.Ποῖον δὲ κέρδος ἀξιοῖς ἥκειν φέρων;
ΟΙ.Χρόνῳ μάθοις ἄν, οὐχὶ τῷ παρόντι που.
ΘΗ.Ποίῳ γὰρ ἡ σὴ προσφορὰ δηλώσεται;
ΟΙ.Ὅταν θάνω ’γὼ καὶ σύ μου ταφεὺς γένῃ.
ΘΗ.Τὰ λοίσθι’ αἰτῇ τοῦ βίου, τὰ δ’ ἐν μέσῳ
ἢ λῆστιν ἴσχεις ἢ δι’ οὐδενὸς ποιῇ.
ΟΙ.Ἐνταῦθα γάρ μοι κεῖνα συγκομίζεται.
ΘΗ.Ἀλλ’ ἐν βραχεῖ δὴ τήνδε μ’ ἐξαιτῇ χάριν.
ΟΙ.Ὅρα γε μήν· οὐ σμικρός, οὔχ, ἁγὼν ὅδε.
ΘΗ.Πότερα τὰ τῶν σῶν ἐκγόνων ἢ ’μοῦ λέγεις;
ΟΙ.Κεῖνοι κομίζειν κεῖς’ ἀναγκάζουσί με.
ΘΗ.Ἀλλ’, εἰ θέλοντά γ’; οὐδὲ σοὶ φεύγειν καλόν.
ΟΙ.Ἀλλ’ οὐδ’, ὅτ’ αὐτὸς ἤθελον, παρίεσαν.
ΘΗ.Ὦ μῶρε, θυμὸς δ’ ἐν κακοῖς οὐ ξύμφορον.
ΟΙ.Ὅταν μάθῃς μου, νουθέτει· τανῦν δ’ ἔα.
ΘΗ.Δίδασκ’· ἄνευ γνώμης γὰρ οὔ με χρὴ λέγειν.
ΟΙ.Πέπονθα, Θησεῦ, δεινὰ πρὸς κακοῖς κακά.
ΘΗ.Ἦ τὴν παλαιὰν ξυμφορὰν γένους ἐρεῖς;
ΟΙ.Οὐ δῆτ’, ἐπεὶ πᾶς τοῦτό γ’ Ἑλλήνων θροεῖ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ΘΗ.Τί γὰρ τὸ μεῖζον ἢ κατ’ ἄνθρωπον νοσεῖς;
ΟΙ.Οὕτως ἔχει μοι· γῆς ἐμῆς ἀπηλάθην
πρὸς τῶν ἐμαυτοῦ σπερμάτων· ἔστιν δέ μοι
πάλιν κατελθεῖν μήποθ’, ὡς πατροκτόνῳ.
ΘΗ.Πῶς δῆτά ς’ ἂν πεμψαίαθ’, ὥστ’ οἰκεῖν δίχα;
ΟΙ.Τὸ θεῖον αὐτοὺς ἐξαναγκάσει στόμα.
ΘΗ.Ποῖον πάθος δείσαντας ἐκ χρηστηρίων;
ΟΙ.Ὅτι σφ’ ἀνάγκη τῇδε πληγῆναι χθονί.
ΘΗ.Καὶ πῶς γένοιτ’ ἂν τἀμὰ κἀκείνων πικρά;
ΟΙ.Ὦ φίλτατ’ Αἰγέως παῖ, μόνοις οὐ γίγνεται
θεοῖσι γῆρας οὐδὲ κατθανεῖν ποτε,
τὰ δ’ ἄλλα συγχεῖ πάνθ’ ὁ παγκρατὴς χρόνος·
φθίνει μὲν ἰσχὺς γῆς, φθίνει δὲ σώματος.
θνῄσκει δὲ πίστις, βλαστάνει δ’ ἀπιστία,
καὶ πνεῦμα ταὐτὸν οὔποτ’ οὔτ’ ἐν ἀνδράσιν
Φίλοις βέβηκεν οὔτε πρὸς πόλιν πόλει·
τοῖς μὲν γὰρ ἤδη, τοῖς δ’ ἐν ὑστέρῳ χρόνῳ
τὰ τερπνὰ πικρὰ γίγνεται καὖθις φίλα.
Καὶ ταῖσι Θήβαις εἰ τανῦν εὐημερεῖ
καλῶς τὰ πρὸς σέ, μυρίας ὁ μυρίος
χρόνος τεκνοῦται νύκτας ἡμέρας τ’ ἰών.
ἐν αἷς τὰ νῦν ξύμφωνα δεξιώματα
δόρει διασκεδῶσιν ἐκ σμικροῦ λόγου·
ἵν’ οὑμὸς εὕδων καὶ κεκρυμμένος νέκυς
ψυχρός ποτ’ αὐτῶν θερμὸν αἷμα πίεται,
εἰ Ζεὺς ἔτι Ζεὺς χὠ Διὸς Φοῖβος σαφής.
Ἀλλ’ οὐ γὰρ αὐδᾶν ἡδὺ τἀκίνητ’ ἔπη,
ἔα μ’ ἐν οἷσιν ἠρξάμην, τὸ σὸν μόνον
πιστὸν φυλάσσων· κοὔποτ’ Οἰδίπουν ἐρεῖς
ἀχρεῖον οἰκητῆρα δέξασθαι τόπων
τῶν ἐνθάδ’, εἴπερ μὴ θεοὶ ψεύσουσί με.
ΧΟ.Ἄναξ, πάλαι καὶ ταῦτα καὶ τοιαῦτ’ ἔπη
γῇ τῇδ’ ὅδ’ ἀνὴρ ὡς τελῶν ἐφαίνετο.
ΘΗ.Τίς δῆτ’ ἂν ἀνδρὸς εὐμένειαν ἐκβάλοι
τοιοῦδ’; ὅτῳ πρῶτον μὲν ἡ δορύξενος
κοινὴ παρ’ ἡμῖν αἰέν ἐστιν ἑστία,
ἔπειτα δ’ ἱκέτης δαιμόνων ἀφιγμένος
γῇ τῇδε κἀμοὶ δασμὸν οὐ σμικρὸν τίνει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἁγὼ σεβισθεὶς οὔποτ’ ἐκβαλῶ χάριν
635.3 τὴν τοῦδε, χώρᾳ δ’ ἔμπαλιν κατοικιῶ.
635.4 Εἰ δ’ ἐνθάδ’ ἡδὺ τῷ ξένῳ μίμνειν, σέ νιν
635.5 τάξω φυλάσσειν· εἰ δ’ ἐμοῦ στείχειν μέτα
640.1 τόδ’ ἡδὺ—τούτων, Οἰδίπου, δίδωμί σοι
640.2 κρίναντι χρῆσθαι· τῇδε γὰρ ξυνοίσομαι.
640.3 ΟΙ.Ὦ Ζεῦ, διδοίης τοῖσι τοιούτοισιν εὖ.
640.4 ΘΗ.Τί δῆτα χρῄζεις; ἦ δόμους στείχειν ἐμούς;
640.5 ΟΙ.Εἴ μοι θέμις γ’ ἦν· ἀλλ’ ὁ χῶρός ἐσθ’ ὅδε—
645.1 ΘΗ.Ἐν ᾧ τί πράξεις; οὐ γὰρ ἀντιστήσομαι·
645.2 ΟΙ.ἐν ᾧ κρατήσω τῶν ἔμ’ ἐκβεβληκότων—
645.3 ΘΗ.Μέγ’ ἂν λέγοις δώρημα τῆς ξυνουσίας.
645.4 ΟΙ.εἰ σοί γ’ ἅπερ φῂς ἐμμενεῖ τελοῦντί μοι.
unit_211 ΘΗ.Θάρσει τὸ τοῦδέ γ’ ἀνδρός· οὔ σε μὴ προδῶ.
unit_212.1 ΟΙ.Οὔτοι ς’ ὑφ’ ὅρκου γ’ ὡς κακὸν πιστώσομαι.
unit_212.2 ΘΗ.Οὔκουν πέρα γ’ ἂν οὐδὲν ἢ λόγῳ φέροις.
unit_212.3 ΟΙ.Πῶς οὖν ποιήσεις;
652.1 ΘΗ.Τοῦ μάλιστ’ ὄκνος ς’ ἔχει;
652.2 ΟΙ.Ἥξουσιν ἄνδρες—
653.1 ΘΗ.Ἀλλὰ τοῖσδ’ ἔσται μέλον.
653.2 ΟΙ.Ὅρα με λείπων—
654 ΘΗ.Μὴ δίδασχ’ ἃ χρή με δρᾶν.
655 ΟΙ.Ὀκνοῦντ’ ἀνάγκη—
655.1 ΘΗ.Τοὐμὸν οὐκ ὀκνεῖ κέαρ.
655.2 ΟΙ.Οὐκ οἶσθ’ ἀπειλάς—
656.1 ΘΗ.Οἶδ’ ἐγώ σε μή τινα
656.2 ἐνθένδ’ ἀπάξοντ’ ἄνδρα πρὸς βίαν ἐμοῦ.
656.3 Πολλαὶ δ’ ἀπειλαὶ πολλὰ δὴ μάτην ἔπη
656.4 θυμῷ κατηπείλησαν, ἀλλ’ ὁ νοῦς ὅταν
660.1 αὑτοῦ γένηται, φροῦδα τἀπειλήματα.
660.2 Κείνοις δ’ ἴσως κεἰ δείν’ ἐπερρώσθη λέγειν
660.3 τῆς σῆς ἀγωγῆς, οἶδ’ ἐγώ, φανήσεται
660.4 μακρὸν τὸ δεῦρο πέλαγος οὐδὲ πλώσιμον.
660.5 Θαρσεῖν μὲν οὖν ἔγωγε κἄνευ τῆς ἐμῆς
665.1 γνώμης ἐπαινῶ, Φοῖβος εἰ προὔπεμψέ σε·
665.2 ὅμως δὲ κἀμοῦ μὴ παρόντος οἶδ’ ὅτι
unit_221.1 τοὐμὸν φυλάξει ς’ ὄνομα μὴ πάσχειν κακῶς.
unit_221.2 ΧΟ.Εὐίππου, ξένε, τᾶσδε χώ-Str. 1.
unit_221.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ρας ἵκου τὰ κράτιστα γᾶς ἔπαυλα,
τὸν ἀργῆτα Κολωνόν, ἔνθ’
ἁ λίγεια μινύρεται
θαμίζουσα μάλιστ’ ἀη-
δὼν χλωραῖς ὑπὸ βάσσαις,
τὸν οἰνῶπα νέμουσα κισ-
σὸν καὶ τὰν ἄβατον θεοῦ
φυλλάδα μυριόκαρπον ἀνήλιον
ἀνήνεμόν τε πάντων
χειμώνων· ἵν’ ὁ Βακχιώ-
τας ἀεὶ Διόνυσος ἐμβατεύει
θείαις ἀμφιπολῶν τιθήναις.
Θάλλει δ’ οὐρανίας ὑπ’ ἄ-Ant. 1.
χνας ὁ καλλίβοτρυς κατ’ ἦμαρ αἰεὶ
νάρκισσος, μεγάλαιν θεαῖν
ἀρχαῖον στεφάνωμ’, ὅ τε
χρυσαυγὴς κρόκος· οὐδ’ ἄυ-
πνοι κρῆναι μινύθουσιν
Κηφισοῦ νομάδες ῥεέ-
θρων, ἀλλ’ αἰὲν ἐπ’ ἤματι
ὠκυτόκος πεδίων ἐπινίσεται
ἀκηράτῳ σὺν ὄμβρῳ
στερνούχου χθονός· οὐδὲ Μου-
σᾶν χοροί νιν ἀπεστύγησαν, οὐδ’ αὖ
ἁ χρυσάνιος Ἀφροδίτα.
Ἔστιν δ’ οἷον ἐγὼ γᾶςStr. 2.
Ἀσίας οὐκ ἐπακούω,
οὐδ’ ἐν τᾷ μεγάλᾳ Δωρίδι νάσῳ
Πέλοπος πώποτε βλαστὸν
φύτευμ’ ἀχείρωτον αὐτοποιόν,
ἐγχέων φόβημα δαΐων,
ὃ τᾷδε θάλλει μέγιστα χώρᾳ,
γλαυκᾶς παιδοτρόφου φύλλον ἐλαίας·
τὸ μέν τις οὐ νεαρὸς οὔτε γήρᾳ
σημαίνων ἁλιώσει χερὶ πέρσας·
ὁ γὰρ αἰὲν ὁρῶν κύκλος
λεύσσει νιν Μορίου Διὸς
χἀ γλαυκῶπις Ἀθάνα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἄλλον δ’ αἶνον ἔχω μα-Ant. 2.
τροπόλει τᾷδε κράτιστον,
δῶρον τοῦ μεγάλου δαίμονος, εἰπεῖν,
〈ἐμὸν〉 αὔχημα μέγιστον,
εὔιππον, εὔπωλον, εὐθάλασσον.
Ὦ παῖ Κρόνου, σὺ γάρ νιν εἰς
τόδ’ εἷσας αὔχημ’, ἄναξ Ποσειδάν,
ἵπποισιν τὸν ἀκεστῆρα χαλινὸν
πρώταισι ταῖσδε κτίσας ἀγυιαῖς·
ἁ δ’ εὐήρετμος ἔκπαγλ’ ἁλία χερ-
σὶ παραπτομένα πλάτα
θρῴσκει, τῶν ἑκατομπόδων
Νηρῄδων ἀκόλουθος.
ΑΝ.Ὦ πλεῖστ’ ἐπαίνοις εὐλογούμενον πέδον,
νῦν σὸν τὰ λαμπρὰ ταῦτα δὴ φαίνειν ἔπη.
ΟΙ.Τί δ’ ἔστιν, ὦ παῖ, καινόν;
ΑΝ.Ἆσσον ἔρχεται
Κρέων ὅδ’ ἡμῖν οὐκ ἄνευ πομπῶν, πάτερ.
ΟΙ.Ὦ φίλτατοι γέροντες, ἐξ ὑμῶν ἐμοὶ
φαίνοιτ’ ἂν ἤδη τέρμα τῆς σωτηρίας.
ΧΟ.Θάρσει, παρέσται. Καὶ γάρ, εἰ γέρων ἐγώ,
τὸ τῆσδε χώρας οὐ γεγήρακεν σθένος.
ΚΡΕΩΝ
Ἄνδρες χθονὸς τῆσδ’ εὐγενεῖς οἰκήτορες,
ὁρῶ τιν’ ὑμᾶς ὀμμάτων εἰληφότας
φόβον νεώρη τῆς ἐμῆς ἐπεισόδου·
ὃν μήτ’ ὀκνεῖτε μήτ’ ἀφῆτ’ ἔπος κακόν.
Ἥκω γὰρ οὐχ ὡς δρᾶν τι βουληθείς, ἐπεὶ
γέρων μέν εἰμι, πρὸς πόλιν δ’ ἐπίσταμαι
σθένουσαν ἥκων, εἴ τιν’ Ἑλλάδος, μέγα·
ἀλλ’ ἄνδρα τόνδε τηλικόσδ’ ἀπεστάλην
πείσων ἕπεσθαι πρὸς τὸ Καδμείων πέδον,
οὐκ ἐξ ἑνὸς στείλαντος ἀλλ’ ἀνδρῶν ὑπὸ
πάντων κελευσθείς, οὕνεχ’ ἧκέ μοι γένει
τὰ τοῦδε πενθεῖν πήματ’ εἰς πλεῖστον πόλεως.
Ἀλλ’, ὦ ταλαίπωρ’ Οἰδίπους, κλύων ἐμοῦ
ἱκοῦ πρὸς οἴκους· πᾶς σε Καδμείων λεὼς
καλεῖ δικαίως, ἐκ δὲ τῶν μάλιστ’ ἐγώ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅσῳπερ, εἰ μὴ πλεῖστον ἀνθρώπων ἔφυν
unit_243 κάκιστος, ἀλγῶ τοῖσι σοῖς κακοῖς, γέρον,
745.1 ὁρῶν σε τὸν δύστηνον ὄντα μὲν ξένον,
745.2 ἀεὶ δ’ ἀλήτην κἀπὶ προσπόλου μιᾶς
745.3 βιοστερῆ χωροῦντα, τὴν ἐγὼ τάλας
745.4 οὐκ ἄν ποτ’ ἐς τοσοῦτον αἰκίας πεσεῖν
745.5 ἔδοξ’, ὅσον πέπτωκεν ἥδε δύσμορος,
unit_245.1 ἀεί σε κηδεύουσα καὶ τὸ σὸν κάρα
unit_245.2 πτωχῷ διαίτῃ, τηλικοῦτος, οὐ γάμων
unit_245.3 ἔμπειρος, ἀλλὰ τοὐπιόντος ἁρπάσαι.
unit_245.4 Ἆρ’ ἄθλιον τοὔνειδος, ὢ τάλας ἐγώ,
unit_245.5 ὠνείδις’ εἰς σὲ κἀμὲ καὶ τὸ πᾶν γένος;
755.1 ἀλλ’, οὐ γὰρ ἔστι τἀμφανῆ κρύπτειν, σύ νυν
755.2 πρὸς θεῶν πατρῴων, Οἰδίπους, πεισθεὶς ἐμοὶ
755.3 κρύψον θελήσας ἄστυ καὶ δόμους μολεῖν
755.4 τοὺς σοὺς πατρῴους, τήνδε τὴν πόλιν φίλως
755.5 εἰπών· ἐπαξία γάρ· ἡ δ’ οἴκοι πλέον
760.1 δίκῃ σέβοιτ’ ἂν οὖσα σὴ πάλαι τροφός.
760.2 ΟΙ.Ὦ πάντα τολμῶν κἀπὸ παντὸς ἂν φέρων
760.3 λόγου δικαίου μηχάνημα ποικίλον,
760.4 τί ταῦτα πειρᾷ κἀμὲ δεύτερον θέλεις
760.5 ἑλεῖν ἐν οἷς μάλιστ’ ἂν ἀλγοίην ἁλούς;
765.1 Πρόσθεν τε γάρ με τοῖσιν οἰκείοις κακοῖς
765.2 νοσοῦνθ’, ὅτ’ ἦν μοι τέρψις ἐκπεσεῖν χθονός,
765.3 οὐκ ἤθελες θέλοντι προσθέσθαι χάριν,
765.4 ἀλλ’ ἡνίκ’ ἤδη μεστὸς ἦ θυμούμενος
765.5 καὶ τοὐν δόμοισιν ἦν διαιτᾶσθαι γλυκύ,
770.1 τότ’ ἐξεώθεις κἀξέβαλλες, οὐδέ σοι
770.2 τὸ συγγενὲς τοῦτ’ οὐδαμῶς τότ’ ἦν φίλον·
770.3 νῦν τ’ αὖθις, ἡνίκ’ εἰσορᾷς πόλιν τέ μοι
unit_250.1 ξυνοῦσαν εὔνουν τήνδε καὶ γένος τὸ πᾶν,
unit_250.2 πειρᾷ μετασπᾶν, σκληρὰ μαλθακῶς λέγων.
775.1 Καίτοι τίς αὕτη τέρψις ἄκοντας φιλεῖν;
775.2 ὥσπερ τις εἴ σοι λιπαροῦντι μὲν τυχεῖν
775.3 μηδὲν διδοίη μηδ’ ἐπαρκέσαι θέλοι,
775.4 πλήρη δ’ ἔχοντι θυμὸν ὧν χρῄζοις, τότε
775.5 δωροῖθ’, ὅτ’ οὐδὲν ἡ χάρις χάριν φέροι·
780.1 ἆρ’ ἂν ματαίου τῆσδ’ ἂν ἡδονῆς τύχοις;
780.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοιαῦτα μέντοι καὶ σὺ προσφέρεις ἐμοί,
λόγῳ μὲν ἐσθλά, τοῖσι δ’ ἔργοισιν κακά.
Φράσω δὲ καὶ τοῖσδ’, ὥς σε δηλώσω κακόν.
Ἥκεις ἔμ’ ἄξων, οὐχ ἵν’ ἐς δόμους ἄγῃς,
ἀλλ’ ὡς πάραυλον οἰκίσῃς, πόλις δέ σοι
κακῶν ἄνατος τῆσδ’ ἀπαλλαχθῇ χθονός.
Οὐκ ἔστι σοι ταῦτ’, ἀλλά σοι τάδ’ ἔστ’, ἐκεῖ
χώρας ἀλάστωρ οὑμὸς ἐνναίων ἀεί·
ἔστιν δὲ παισὶ τοῖς ἐμοῖσι τῆς ἐμῆς
χθονὸς λαχεῖν τοσοῦτον, ἐνθανεῖν μόνον.
Ἆρ’ οὐκ ἄμεινον ἢ σὺ τἀν Θήβαις φρονῶ;
πολλῷ γ’, ὅσῳπερ κἀκ σαφεστέρων κλύω,
Φοίβου τε καὐτοῦ Ζηνός, ὃς κείνου πατήρ.
Τὸ σὸν δ’ ἀφῖκται δεῦρ’ ὑπόβλητον στόμα,
πολλὴν ἔχον στόμωσιν· ἐν δὲ τῷ λέγειν
κάκ’ ἂν λάβοις τὰ πλείον’ ἢ σωτήρια.
Ἀλλ’ οἶδα γάρ σε ταῦτα μὴ πείθων, ἴθι,
ἡμᾶς δ’ ἔα ζῆν ἐνθάδ’· οὐ γὰρ ἂν κακῶς
οὐδ’ ὧδ’ ἔχοντες ζῷμεν, εἰ τερποίμεθα.
ΚΡ.Πότερα νομίζεις δυστυχεῖν ἔμ’ ἐς τὰ σὰ
ἢ ς’ εἰς τὰ σαυτοῦ μᾶλλον ἐν τῷ νῦν λόγῳ;
ΟΙ.Ἐμοὶ μέν ἐσθ’ ἥδιστον εἰ σὺ μήτ’ ἐμὲ
πείθειν οἷός τ’ εἶ μήτε τούσδε τοὺς πέλας.
ΚΡ.Ὦ δύσμορ’, οὐδὲ τῷ χρόνῳ φύσας φανῇ
φρένας ποτ’, ἀλλὰ λῦμα τῷ γήρᾳ τρέφῃ;
ΟΙ.Γλώσσῃ σὺ δεινός· ἄνδρα δ’ οὐδέν’ οἶδ’ ἐγὼ
δίκαιον ὅστις ἐξ ἅπαντος εὖ λέγει.
ΚΡ.Χωρὶς τό τ’ εἰπεῖν πολλὰ καὶ τὸ καίρια.
ΟΙ.Ὡς δὴ σὺ βραχέα, ταῦτα δ’ ἐν καιρῷ λέγεις.
ΚΡ.Οὐ δῆθ’ ὅτῳ γε νοῦς ἴσος καὶ σοὶ πάρα.
ΟΙ.Ἄπελθ’, ἐρῶ γὰρ καὶ πρὸ τῶνδε, μηδέ με
φύλασς’ ἐφορμῶν ἔνθα χρὴ ναίειν ἐμέ.
ΚΡ.Μαρτύρομαι τούσδ’, οὐ σέ. Πρὸς δὲ τοὺς φίλους
οἵ’ ἀνταμείβῃ ῥήματ’, ἤν ς’ ἕλω ποτέ—
ΟΙ.Τίς δ’ ἄν με τῶνδε συμμάχων ἕλοι βίᾳ;
ΚΡ.Ἦ μὴν σὺ κἄνευ τοῦδε λυπηθεὶς ἔσῃ.
ΟΙ.Ποίῳ σὺν ἔργῳ τοῦτ’ ἀπειλήσας ἔχεις;
ΚΡ.Παίδοιν δυοῖν σοι τὴν μὲν ἀρτίως ἐγὼ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ξυναρπάσας ἔπεμψα, τὴν δ’ ἄξω τάχα.
820 ΟΙ.Οἴμοι.
820.1 ΚΡ.Τάχ’ ἕξεις μᾶλλον οἰμώζειν τάδε.
820.2 ΟΙ.Τὴν παῖδ’ ἔχεις μου;
821.1 ΚΡ.Τήνδε τ’ οὐ μακροῦ χρόνου.
821.2 ΟΙ.Ἰὼ ξένοι, τί δράσετ’; ἦ προδώσετε,
821.3 κοὐκ ἐξελᾶτε τὸν ἀσεβῆ τῆσδε χθονός;
821.4 ΧΟ.Χώρει, ξέν’, ἔξω θᾶσσον· οὔτε γὰρ τὰ νῦν
825.1 δίκαια πράσσεις οὔθ’ ἃ πρόσθεν εἴργασαι.
825.2 ΚΡ.Ὑμῖν ἂν εἴη τήνδε καιρὸς ἐξάγειν
unit_265.1 ἄκουσαν, εἰ θέλουσα μὴ πορεύσεται.
unit_265.2 ΑΝ.Οἴμοι τάλαινα, ποῖ φύγω; ποίαν λάβω
unit_265.3 θεῶν ἄρηξιν ἢ βροτῶν;
829 ΧΟ.Τί δρᾷς, ξένε·
830.1 ΚΡ.Οὐχ ἅψομαι τοῦδ’ ἀνδρός, ἀλλὰ τῆς ἐμῆς.
830.2 ΟΙ.Ὦ γῆς ἄνακτες.
831.1 ΧΟ.Ὦ ξέν’, οὐ δίκαια δρᾷς.
831.2 ΚΡ.Δίκαια.
832 ΧΟ.Πῶς δίκαια;
832 ΚΡ.Τοὺς ἐμοὺς ἄγω.
832.1 ΟΙ.Ἰὼ πόλις.Str.
832.2 ΧΟ.Τί δρᾷς, ὦ ξέν’; οὐκ ἀφήσεις; τάχ’ εἰς
835.1 βάσανον εἶ χερῶν.
835.2 ΚΡ.Εἴργου.
836.1 ΧΟ.Σοῦ μὲν οὔ, τάδε γε μωμένου.
836.2 ΚΡ.Πόλει μάχῃ γάρ, εἴ τι πημανεῖς ἐμέ.
836.3 ΟΙ.Οὐκ ἠγόρευον ταῦτ’ ἐγώ;
838.1 ΧΟ.Μέθες χεροῖν
838.2 τὴν παῖδα θᾶσσον.
839 ΚΡ.Μὴ ’πίτασσ’ ἃ μὴ κρατεῖς.
840 ΧΟ.Χαλᾶν λέγω σοι.
840.1 ΚΡ.Σοὶ δ’ ἔγωγ’ ὁδοιπορεῖν.
840.2 ΧΟ.Πρόβαθ’ ὧδε, βᾶτε, βᾶτ’, ἔντοποι·
840.3 πόλις ἐναίρεται, πόλις ἐμά, σθένει·
unit_278.1 πρόβαθ’ ὧδέ μοι.
unit_278.2 ΑΝ.Ἀφέλκομαι δύστηνος, ὦ ξένοι, ξένοι.
845 ΟΙ.Ποῦ, τέκνον, εἶ μοι;
845.1 ΑΝ.Πρὸς βίαν πορεύομαι.
845.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ΟΙ.Ὄρεξον, ὦ παῖ, χεῖρας.
846.1 ΑΝ.Ἀλλ’ οὐδὲν σθένω.
846.2 ΚΡ.Οὐκ ἄξεθ’ ὑμεῖς;
847.1 ΟΙ.Ὦ τάλας ἐγώ, τάλας.
847.2 ΚΡ.Οὔκουν ποτ’ ἐκ τούτοιν γε μὴ σκήπτροιν ἔτι
847.3 ὁδοιπορήσεις· ἀλλ’ ἐπεὶ νικᾶν θέλεις
unit_283.1 πατρίδα 〈τε〉 τὴν σὴν καὶ φίλους, ὑφ’ ὧν ἐγὼ
unit_283.2 ταχθεὶς τάδ’ ἔρδω καὶ τύραννος ὢν ὅμως,
unit_283.3 νίκα· χρόνῳ γάρ, οἶδ’ ἐγώ, γνώσῃ τάδε,
unit_283.4 ὁθούνεκ’ αὐτὸς αὑτὸν οὔτε νῦν καλὰ
unit_283.5 δρᾷς οὔτε πρόσθεν εἰργάσω βίᾳ φίλων,
855.1 ὀργῇ χάριν δοὺς ἥ σ’ ἀεὶ λυμαίνεται.
855.2 ΧΟ.Ἐπίσχες αὐτοῦ, ξεῖνε.
856.1 ΚΡ.Μὴ ψαύειν λέγω.
856.2 ΧΟ.Οὔτοι σ’ ἀφήσω, τῶνδέ γ’ ἐστερημένος.
856.3 ΚΡ.Καὶ μεῖζον ἆρα ῥύσιον πόλει τάχα
856.4 θήσεις· ἐφάψομαι γὰρ οὐ ταύταιν μόναιν.
860 ΧΟ.Ἀλλ’ ἐς τί τρέψῃ;
860.1 ΚΡ.Τόνδ’ ἀπάξομαι λαβών.
860.2 ΧΟ.Δεινὸν λέγεις 〈σύ〉.
861 ΚΡ.Τοῦτο νῦν πεπράξεται,
unit_289.1 ἢν μή μ’ ὁ κραίνων τῆσδε γῆς ἀπειργάθῃ.
unit_289.2 ΟΙ.Ὦ φθέγμ’ ἀναιδές, ἦ σὺ γὰρ ψαύσεις ἐμοῦ;
unit_289.3 ΚΡ.Αὐδῶ σιωπᾶν.
864 ΟΙ.Μὴ γὰρ αἵδε δαίμονες
865.1 θεῖέν μ’ ἄφωνον τῆσδε τῆς ἀρᾶς ἔτι,
865.2 ὅς μ’, ὦ κάκιστε, ψιλὸν ὄμμ’ ἀποσπάσας
865.3 πρὸς ὄμμασιν τοῖς πρόσθεν ἐξοίχῃ βίᾳ.
865.4 Τοιγὰρ σὲ καὐτὸν καὶ γένος τὸ σὸν θεῶν
865.5 ὁ πάντα λεύσσων Ἥλιος δοίη βίον
870.1 τοιοῦτον οἷον κἀμὲ γηρᾶναί ποτε.
870.2 ΚΡ.Ὁρᾶτε ταῦτα, τῆσδε γῆς ἐγχώριοι;
870.3 ΟΙ.Ὁρῶσι κἀμὲ καὶ σέ, καὶ φρονοῦς’ ὅτι
870.4 ἔργοις πεπονθὼς ῥήμασίν σ’ ἀμύνομαι.
870.5 ΚΡ.Οὔτοι καθέξω θυμόν, ἀλλ’ ἄξω βίᾳ.
875 κεἰ μοῦνός εἰμι, τόνδε, καὶ γήρᾳ βαρύς.
875.1 ΟΙ.Ἰὼ τάλας.Ant.
875.2 ΧΟ.Ὅσον λῆμ’ ἔχων ἀφίκου, ξέν’, εἰ
875.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τάδε δοκεῖς τελεῖν.
875.4 ΚΡ.Δοκῶ.
879 ΧΟ.Τάνδ’ ἄρ’ οὐκέτι νεμῶ πόλιν.
880.1 ΚΡ.Τοῖς τοι δικαίοις χὠ βραχὺς νικᾷ μέγαν.
880.2 ΟΙ.Ἀκούεθ’ οἷα φθέγγεται;
881.1 ΧΟ.Τά γ’ οὐ τελεῖ,
881.2 〈σαφῶς ἐγᾦδα〉.
882.1 ΚΡ.Ζεύς γ’ ἂν εἰδείη, σὺ δ’ οὔ.
882.2 ΧΟ.Ἆρ’ οὐχ ὕβρις τάδ’;
883.1 ΚΡ.῞Υβρις, ἀλλ’ ἀνεκτέα.
883.2 ΧΟ.Ἰὼ πᾶς λεώς, ἰὼ γᾶς πρόμοι,
885.1 μόλετε σὺν τάχει, μόλετ’· ἐπεὶ πέραν
885.2 περῶς’ οἵδε δή.
886.1 ΘΗ.Τίς ποθ’ ἡ βοή; τί τοὔργον; ἐκ τίνος φόβου ποτὲ
886.2 βουθυτοῦντά μ’ ἀμφὶ βωμὸν ἔσχετ’ ἐναλίῳ θεῷ
886.3 τοῦδ’ ἐπιστάτῃ Κολωνοῦ; Λέξαθ’, ὡς εἰδῶ τὸ πᾶν,
890.1 οὗ χάριν δεῦρ’ ᾖξα θᾶσσον ἢ καθ’ ἡδονὴν ποδός.
890.2 ΟΙ.Ὦ φίλτατ’, ἔγνων γὰρ τὸ προσφώνημά σου,
890.3 πέπονθα δεινὰ τοῦδ’ ὑπ’ ἀνδρὸς ἀρτίως.
890.4 ΘΗ.Τὰ ποῖα ταῦτα; τίς δ’ ὁ πημήνας; λέγε.
890.5 ΟΙ.Κρέων ὅδ’ ὃν δέδορκας οἴχεται τέκνων
895.1 ἀποσπάσας μου τὴν μόνην ξυνωρίδα.
895.2 ΘΗ.Πῶς εἶπας;
896.1 ΟΙ.Οἷά περ πέπονθ’ ἀκήκοας.
896.2 ΘΗ.Οὔκουν τις ὡς τάχιστα προσπόλων μολὼν
896.3 πρὸς τούσδε βωμοὺς πάντ’ ἀναγκάσει λεὼν
896.4 ἄνιππον ἱππότην τε θυμάτων ἄπο
unit_305.1 σπεύδειν ἀπὸ ῥυτῆρος, ἔνθα δίστομοι
unit_305.2 μάλιστα συμβάλλουσιν ἐμπόρων ὁδοί,
unit_305.3 ὡς μὴ παρέλθως’ αἱ κόραι, γέλως δ’ ἐγὼ
unit_305.4 ξένῳ γένωμαι τῷδε χειρωθεὶς βίᾳ;
unit_305.5 ἴθ’, ὡς ἄνωγα, σὺν τάχει. Τοῦτον δ’ ἐγώ,
905.1 εἰ μὲν δι’ ὀργῆς ἧκον ἧς ὅδ’ ἄξιος,
905.2 ἄτρωτον οὐ μεθῆκ’ ἂν ἐξ ἐμῆς χερός·
unit_307.1 νῦν δ’ οὕσπερ αὐτὸς τοὺς νόμους εἰσῆλθ’ ἔχων,
unit_307.2 τούτοισι κοὐκ ἄλλοισιν ἁρμοσθήσεται.
unit_307.3 Οὐ γάρ ποτ’ ἔξει τῆσδε τῆς χώρας, πρὶν ἂν
910.1 κείνας ἐναργεῖς δεῦρό μοι στήσῃς ἄγων·
910.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπεὶ δέδρακας οὔτ’ ἐμοῦ καταξίως
οὔθ’ ὧν πέφυκας αὐτὸς οὔτε σῆς χθονός,
ὅστις δίκαι’ ἀσκοῦσαν εἰσελθὼν πόλιν
κἄνευ νόμου κραίνουσαν οὐδέν, εἶτ’ ἀφεὶς
τὰ τῆσδε τῆς γῆς κύρι’ ὧδ’ ἐπεισπεσὼν
ἄγεις θ’ ἃ χρῄζεις καὶ παρίστασαι βίᾳ·
καί μοι πόλιν κένανδρον ἢ δούλην τινὰ
ἔδοξας εἶναι, κἄμ’ ἴσον τῷ μηδενί.
Καίτοι σε Θῆβαί γ’ οὐκ ἐπαίδευσαν κακόν·
οὐ γὰρ φιλοῦσιν ἄνδρας ἐκδίκους τρέφειν,
οὐδ’ ἄν ς’ ἐπαινέσειαν, εἰ πυθοίατο
συλῶντα τἀμὰ καὶ τὰ τῶν θεῶν, βίᾳ
ἄγοντα φωτῶν ἀθλίων ἱκτήρια.
Οὔκουν ἔγωγ’ ἄν, σῆς ἐπεμβαίνων χθονός,
οὐδ’ εἰ τὰ πάντων εἶχον ἐνδικώτατα,
ἄνευ γε τοῦ κραίνοντος, ὅστις ἦν, χθονὸς
οὔθ’ εἷλκον οὔτ’ ἂν ἦγον, ἀλλ’ ἠπιστάμην
ξένον παρ’ ἀστοῖς ὡς διαιτᾶσθαι χρεών.
Σὺ δ’ ἀξίαν οὐκ οὖσαν αἰσχύνεις πόλιν
τὴν αὐτὸς αὑτοῦ, καί ς’ ὁ πληθύων χρόνος
γέρονθ’ ὁμοῦ τίθησι καὶ τοῦ νοῦ κενόν.
Εἶπον μὲν οὖν καὶ πρόσθεν, ἐννέπω δὲ νῦν,
τὰς παῖδας ὡς τάχιστα δεῦρ’ ἄγειν τινά,
εἰ μὴ μέτοικος τῆσδε τῆς χώρας θέλεις
εἶναι βίᾳ τε κοὐχ ἑκών· καὶ ταῦτά σοι
τῷ νῷ θ’ ὁμοίως κἀπὸ τῆς γλώσσης λέγω.
ΧΟ.Ὁρᾷς ἵν’ ἥκεις, ὦ ξέν’; ὡς ἀφ’ ὧν μὲν εἶ
φαίνῃ δίκαιος, δρῶν δ’ ἐφευρίσκῃ κακά.
ΚΡ.Ἐγὼ οὔτ’ ἄνανδρον τήνδε τὴν πόλιν λέγω,
ὦ τέκνον Αἰγέως, οὔτ’ ἄβουλον, ὡς σὺ φῄς,
τοὔργον τόδ’ ἐξέπραξα, γιγνώσκων δ’ ὅτι
οὐδείς ποτ’ αὐτοὺς τῶν ἐμῶν ἂν ἐμπέσοι
ζῆλος ξυναίμων, ὥστ’ ἐμοῦ τρέφειν βίᾳ.
Ἤιδη δ’ ὁθούνεκ’ ἄνδρα καὶ πατροκτόνον
κἄναγνον οὐ δεξοίατ’, οὐδ’ ὅτῳ γάμοι
ξυνόντες ηὑρέθησαν ἀνόσιοι τέκνων.
Τοιοῦτον αὐτοῖς Ἄρεος εὔβουλον πάγον
ἐγὼ ξυνῄδη χθόνιον ὄνθ’, ὃς οὐκ ἐᾷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοιούσδ’ ἀλήτας τῇδ’ ὁμοῦ ναίειν πόλει·
ᾧ πίστιν ἴσχων τήνδ’ ἐχειρούμην ἄγραν.
Καὶ ταῦτ’ ἂν οὐκ ἔπρασσον, εἰ μή μοι πικρὰς
αὐτῷ τ’ ἀρὰς ἠρᾶτο καὶ τὠμῷ γένει·
ἀνθ’ ὧν πεπονθὼς ἠξίουν τάδ’ ἀντιδρᾶν·
θυμοῦ γὰρ οὐδέν ἐστι γῆρας ἄλλο πλὴν
θανεῖν· θανόντων δ’ οὐδὲν ἄλγος ἅπτεται.
Πρὸς ταῦτα πράξεις οἷον ἂν θέλῃς· ἐπεὶ
ἐρημία με, κεἰ δίκαι’ ὅμως λέγω,
σμικρὸν τίθησι· πρὸς δὲ τὰς πράξεις ὅμως,
καὶ τηλικόσδ’ ὤν, ἀντιδρᾶν πειράσομαι.
ΟΙ.Ὦ λῆμ’ ἀναιδές, τοῦ καθυβρίζειν δοκεῖς,
πότερον ἐμοῦ γέροντος ἢ σαυτοῦ, τόδε;
ὅστις φόνους μοι καὶ γάμους καὶ συμφορὰς
τοῦ σοῦ διῆκας στόματος, ἃς ἐγὼ τάλας
ἤνεγκον ἄκων· θεοῖς γὰρ ἦν οὕτω φίλον,
τάχ’ ἄν τι μηνίουσιν εἰς γένος πάλαι.
Ἐπεὶ καθ’ αὑτόν γ’ οὐκ ἂν ἐξεύροις ἐμοὶ
ἁμαρτίας ὄνειδος οὐδὲν ἀνθ’ ὅτου
τάδ’ εἰς ἐμαυτὸν τοὺς ἐμούς θ’ ἡμάρτανον.
Ἐπεὶ δίδαξον, εἴ τι θέσφατον πατρὶ
χρησμοῖσιν ἱκνεῖθ’ ὥστε πρὸς παίδων θανεῖν,
πῶς ἂν δικαίως τοῦτ’ ὀνειδίζοις ἐμοί,
ὃς οὔτε βλάστας πω γενεθλίους πατρός,
οὐ μητρὸς εἶχον, ἀλλ’ ἀγέννητος τότ’ ἦ;
Εἰ δ’ αὖ φανεὶς δύστηνος, ὡς ἐγὼ ’φάνην,
ἐς χεῖρας ἦλθον πατρὶ καὶ κατέκτανον,
μηδὲν ξυνιεὶς ὧν ἔδρων εἰς οὕς τ’ ἔδρων,
πῶς ἂν τό γ’ ἆκον πρᾶγμ’ ἂν εἰκότως ψέγοις;
Μητρὸς δέ, τλῆμον, οὐκ ἐπαισχύνῃ γάμους
οὔσης ὁμαίμου σῆς μ’ ἀναγκάζων λέγειν
οἵους ἐρῶ τάχ’· οὐ γὰρ οὖν σιγήσομαι,
σοῦ γ’ εἰς τόδ’ ἐξελθόντος ἀνόσιον στόμα.
Ἔτικτε γάρ μ’ ἔτικτεν, ὤμοι μοι κακῶν,
οὐκ εἰδότ’ οὐκ εἰδυῖα, καὶ τεκοῦσά με
αὑτῆς ὄνειδος παῖδας ἐξέφυσέ μοι.
Ἀλλ’ ἓν γὰρ οὖν ἔξοιδα, σὲ μὲν ἑκόντ’ ἐμὲ
κείνην τε ταῦτα δυσστομεῖν· ἐγὼ δέ νιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄκων ἔγημα, φθέγγομαί τ’ ἄκων τάδε.
Ἀλλ’ οὐ γὰρ οὔτ’ ἐν τοῖσδ’ ἀκούσομαι κακὸς
γάμοισιν οὔθ’ οὓς αἰὲν ἐμφέρεις σύ μοι
φόνους πατρῴους ἐξονειδίζων πικρῶς.
Ἓν γάρ μ’ ἄμειψαι μοῦνον ὧν ς’ ἀνιστορῶ·
εἴ τίς σε τὸν δίκαιον αὐτίκ’ ἐνθάδε
κτείνοι παραστάς, πότερα πυνθάνοι’ ἂν εἰ
πατήρ ς’ ὁ καίνων, ἢ τίνοι’ ἂν εὐθέως;
Δοκῶ μέν, εἴπερ ζῆν φιλεῖς, τὸν αἴτιον
τίνοι’ ἄν, οὐδὲ τοὔνδικον περιβλέποις.
Τοιαῦτα μέντοι καὐτὸς εἰσέβην κακά,
θεῶν ἀγόντων· οἷς ἐγὼ οὐδὲ τὴν πατρὸς
ψυχὴν ἂν οἶμαι ζῶσαν ἀντειπεῖν ἐμοί.
Σὺ δ’, εἶ γὰρ οὐ δίκαιος, ἀλλ’ ἅπαν καλὸν
λέγειν νομίζων, ῥητὸν ἄρρητόν τ’ ἔπος,
τοιαῦτ’ ὀνειδίζεις με τῶνδ’ ἐναντίον.
Καί σοι τὸ Θησέως ὄνομα θωπεῦσαι καλόν,
καὶ τὰς Ἀθήνας, ὡς κατῴκηνται καλῶς·
κᾆθ’ ὧδ’ ἐπαινῶν πολλὰ τοῦδ’ ἐκλανθάνῃ,
ὁθούνεκ’ εἴ τις γῆ θεοὺς ἐπίσταται
τιμαῖς σεβίζειν, ἥδε τοῦθ’ ὑπερφέρει·
ἀφ’ ἧς σὺ κλέψας τὸν ἱκέτην γέροντ’ ἐμὲ
αὐτόν τ’ ἐχειροῦ τὰς κόρας τ’ οἴχῃ λαβών.
Ἀνθ’ ὧν ἐγὼ νῦν τάσδε τὰς θεὰς ἐμοὶ
καλῶν ἱκνοῦμαι καὶ κατασκήπτω λιταῖς
ἐλθεῖν ἀρωγοὺς ξυμμάχους 〈θ’〉, ἵν’ ἐκμάθῃς
οἵων ὑπ’ ἀνδρῶν ἥδε φρουρεῖται πόλις.
ΧΟ.Ὁ ξεῖνος, ὦναξ, χρηστός· αἱ δὲ συμφοραὶ
αὐτοῦ πανώλεις, ἄξιαι δ’ ἀμυναθεῖν.
ΘΗ.Ἅλις λόγων· ὡς οἱ μὲν ἐξηρπασμένοι
σπεύδουσιν, ἡμεῖς δ’ οἱ παθόντες ἕσταμεν.
ΚΡ.Τί δῆτ’ ἀμαυρῷ φωτὶ προστάσσεις ποεῖν;
ΘΗ.Ὁδοῦ κατάρχειν τῆς ἐκεῖ, πομπὸν δέ με
χωρεῖν, ἵν’ εἰ μὲν ἐν τόποισι τοῖσδ’ ἔχεις
τὰς παῖδας ἡμῶν, αὐτὸς ἐκδείξῃς ἐμοί·
εἰ δ’ ἐγκρατεῖς φεύγουσιν, οὐδὲν δεῖ πονεῖν·
ἄλλοι γὰρ οἱ σπεύδοντες, οὓς οὐ μή ποτε
χώρας φυγόντες τῆσδ’ ἐπεύξωνται θεοῖς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀλλ’ ἐξυφηγοῦ· γνῶθι δ’ ὡς ἔχων ἔχῃ
1025.2 καί ς’ εἷλε θηρῶνθ’ ἡ Τύχη· τὰ γὰρ δόλῳ
1025.3 τῷ μὴ δικαίῳ κτήματ’ οὐχὶ σῴζεται.
1025.4 Κοὐκ ἄλλον ἕξεις εἰς τόδ’· ὡς ἔξοιδά σε
1025.5 οὐ ψιλὸν οὐδ’ ἄσκευον ἐς τοσήνδ’ ὕβριν
1030.1 ἥκοντα τόλμης τῆς παρεστώσης τανῦν,
1030.2 ἀλλ’ ἔσθ’ ὅτῳ σὺ πιστὸς ὢν ἔδρας τάδε·
1030.3 ἃ δεῖ μ’ ἀθρῆσαι, μηδὲ τήνδε τὴν πόλιν
1030.4 ἑνὸς ποῆσαι φωτὸς ἀσθενεστέραν.
1030.5 Νοεῖς τι τούτων, ἢ μάτην τὰ νῦν τέ σοι
1035.1 δοκεῖ λελέχθαι χὤτε ταῦτ’ ἐμηχανῶ;
1035.2 ΚΡ.Οὐδὲν σὺ μεμπτὸν ἐνθάδ’ ὢν ἐρεῖς ἐμοί·
1035.3 οἴκοι δὲ χἠμεῖς εἰσόμεσθ’ ἃ χρὴ ποεῖν.
1035.4 ΘΗ.Χωρῶν ἀπείλει νῦν· σὺ δ’ ἡμίν, Οἰδίπους,
1035.5 ἕκηλος αὐτοῦ μίμνε, πιστωθεὶς ὅτι,
1040.1 ἢν μὴ θάνω ’γὼ πρόσθεν, οὐχὶ παύσομαι
1040.2 πρὶν ἄν σε τῶν σῶν κύριον στήσω τέκνων.
1040.3 ΟΙ.Ὄναιο, Θησεῦ, τοῦ τε γενναίου χάριν
unit_339.1 καὶ τῆς πρὸς ἡμᾶς ἐνδίκου προμηθίας.
unit_339.2 ΧΟ.Εἴην ὅθι δαΐωνStr. 1.
1045.1 ἀνδρῶν τάχ’ ἐπιστροφαὶ
1045.2 τὸν χαλκοβόαν Ἄρη
1045.3 μείξουσιν, ἢ πρὸς Πυθίαις,
1045.4 ἢ λαμπάσιν ἀκταῖς,
unit_341.1 οὗ πότνιαι σεμνὰ τιθηνοῦνται τέλη
unit_341.2 θνατοῖσιν ὧν καὶ χρυσέα
unit_341.3 κλῂς ἐπὶ γλώσσᾳ βέβα-
unit_341.4 κε προσπόλων Εὐμολπιδᾶν·
unit_341.5 ἔνθ’ οἶμαι τὸν ἐγρεμάχαν
1055.1 Θησέα καὶ τὰς διστόλους
1055.2 ἀδμῆτας ἀδελφὰς
1055.3 αὐτάρκει τάχ’ ἐμμείξειν βοᾷ
1055.4 τούσδ’ ἀνὰ χώρους·
1058 ἤ που τὸν ἐφέσπερονAnt. 1.
1060.1 πέτρας νιφάδος πελῶς’
1060.2 Οἰάτιδος ἐκ νομοῦ
1060.3 πώλοισιν ἢ ῥιμφαρμάτοις
1060.4 φεύγοντες ἁμίλλαις;
1065.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἁλώσεται· δεινὸς ὁ προσχωρῶν Ἄρης,
1065.2 δεινὰ δὲ Θησειδᾶν ἀκμά.
1065.3 Πᾶς γὰρ ἀστράπτει χαλι-
1065.4 νός, πᾶσα δ’ ὁρμᾶται κατὰ
1065.5 ἀμπυκτήρια 〈νεαρῶν〉
1070.1 ἄμβασις οἳ τὰν ἱππίαν
1070.2 τιμῶσιν Ἀθάναν
1070.3 καὶ τὸν πόντιον γαιάοχον
unit_347.1 Ῥέας φίλον υἱόν.
unit_347.2 Ἔρδους’ ἢ μέλλουσιν; ὡςStr. 2.
1075.1 προμνᾶταί τί μοι
1075.2 γνώμα τάχ’ ἀνσώσειν
1075.3 τὰν δεινὰ τλᾶσαν, δεινὰ δ’ εὑροῦ-
1075.4 σαν πρὸς αὐθαίμων πάθη.
1075.5 Τελεῖ, τελεῖ Ζεύς τι κατ’ ἆμαρ·
1080.1 μάντις εἴμ’ ἐσθλῶν ἀγώνων.
1080.2 Εἴθ’ ἀελλαία ταχύρρωστος πελειὰς
1080.3 αἰθερίας νεφέλας
1080.4 κύρσαιμι τῶνδ’ ἀγώνων
1080.5 θεωρὸν θεῖσα τοὐμὸν ὄμμα.
1085.1 Ἰὼ Ζεῦ, πάνταρχε θεῶν,Ant. 2.
1085.2 παντόπτ’, ὤ, πόροις
1085.3 γᾶς τᾶσδε δαμούχοις
1085.4 σθένει ’πινικείῳ τὸν εὔ-
1085.5 αγρον τελειῶσαι λόχον,
1090.1 σεμνά τε παῖς Παλλὰς Ἀθάνα.
1090.2 Καὶ τὸν ἀγρευτὰν Ἀπόλλω,
1090.3 καὶ κασιγνήταν πυκνοστίκτων ὀπαδὸν
1090.4 ὠκυπόδων ἐλάφων,
1090.5 στέργω διπλᾶς ἀρωγὰς
1095 μολεῖν γᾷ τᾷδε καὶ πολίταις.
1095.1 Ὦ ξεῖν’ ἀλῆτα, τῷ σκοπῷ μὲν οὐκ ἐρεῖς
1095.2 ὡς ψευδόμαντις· τὰς κόρας γὰρ εἰσορῶ
unit_354.1 τάσδ’ ἆσσον αὖθις ὧδε προσπολουμένας.
unit_354.2 ΟΙ.Ποῦ ποῦ; τί φῄς; πῶς εἶπας;
1099 ΑΝ.Ὦ πάτερ, πάτερ,
unit_356.1 τίς ἂν θεῶν σοι τόνδ’ ἄριστον ἄνδρ’ ἰδεῖν
unit_356.2 δοίη, τὸν ἡμᾶς δεῦρο προσπέμψαντά σοι;
unit_356.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ΟΙ.Ὦ τέκνον, ἦ πάρεστον;
1102.1 ΑΝ.Αἵδε γὰρ χέρες
1102.2 Θησέως ἔσωσαν φιλτάτων τ’ ὀπαόνων.
1102.3 ΟΙ.Προσέλθετ’, ὦ παῖ, πατρί, καὶ τὸ μηδαμὰ
1105.1 ἐλπισθὲν ἥξειν σῶμα βαστάσαι δότε.
1105.2 ΑΝ.Αἰτεῖς ἃ τεύξῃ· σὺν πόθῳ γὰρ ἡ χάρις.
1105.3 ΟΙ.Ποῦ δῆτα, ποῦ ’στόν;
1107.1 ΑΝ.Αἵδ’ ὁμοῦ πελάζομεν.
1107.2 ΟΙ.Ὦ φίλτατ’ ἔρνη.
1108.1 ΑΝ.Τῷ τεκόντι πᾶν φίλον.
1108.2 ΟΙ.Ὦ σκῆπτρα φωτός.
1109 ΑΝ.Δυσμόρου γε δύσμορα.
1110.1 ΟΙ.Ἔχω τὰ φίλτατ’, οὐδ’ ἔτ’ ἂν πανάθλιος
1110.2 θανὼν ἂν εἴην σφῷν παρεστώσαιν ἐμοί.
1110.3 Ἐρείσατ’, ὦ παῖ, πλευρὸν ἀμφιδέξιον
1110.4 ἐμφύντε τῷ φύσαντι, κἀναπαύσατον
1110.5 τοῦ πρόσθ’ ἐρήμου τοῦδε δυστήνου πλάνου.
1115 Καί μοι τὰ πραχθέντ’ εἴπαθ’ ὡς βράχιστ’, ἐπεὶ
unit_364.1 ταῖς τηλικαῖσδε σμικρὸς ἐξαρκεῖ λόγος.
unit_364.2 ΑΝ.Ὅδ’ ἔσθ’ ὁ σώσας· τοῦδε χρὴ κλύειν, πάτερ,
unit_364.3 καὶ σοί γε τοὔργον τοὐμὸν εἶτ’ ἔσται βραχύ.
unit_364.4 ΟΙ.Ὦ ξεῖνε, μὴ θαύμαζε πρὸς τὸ λιπαρές,
1120.1 τέκν’ εἰ φανέντ’ ἄελπτα μηκύνω λόγον·
1120.2 ἐπίσταμαι γὰρ τήνδε τὴν ἐς τάσδε μοι
1120.3 τέρψιν παρ’ ἄλλου μηδενὸς πεφασμένην.
1120.4 Σὺ γάρ νιν ἐξέσωσας, οὐκ ἄλλος βροτῶν,
1120.5 καὶ σοὶ θεοὶ πόροιεν ὡς ἐγὼ θέλω,
1125.1 αὐτῷ τε καὶ γῇ τῇδ’· ἐπεὶ τό γ’ εὐσεβὲς
1125.2 μόνοις παρ’ ὑμῖν ηὗρον ἀνθρώπων ἐγὼ
1125.3 καὶ τοὐπιεικὲς καὶ τὸ μὴ ψευδοστομεῖν·
1125.4 εἰδὼς δ’ ἀμύνω τοῖσδε τοῖς λόγοις τάδε·
1125.5 ἔχω γὰρ ἅχω διὰ σὲ κοὐκ ἄλλον βροτῶν,
1130.1 καί μοι χέρ’, ὦναξ, δεξιάν τ’ ὄρεξον ὡς
1130.2 ψαύσω φιλήσω τ’, εἰ θέμις, τὸ σὸν κάρα.
1130.3 Καίτοι τί φωνῶ; πῶς ς’ ἂν ἄθλιος γεγὼς
1130.4 θιγεῖν θελήσαιμ’ ἀνδρός, ᾧ τίς οὐκ ἔνι
1130.5 κηλὶς κακῶν ξύνοικος; οὐκ ἔγωγέ σε,
1135.1 οὐδ’ οὖν ἐάσω· τοῖς γὰρ ἐμπείροις βροτῶν
1135.2

μόνοις οἷόν τε συνταλαιπωρεῖν τάδε.
Σὺ δ’ αὐτόθεν μοι χαῖρε, καὶ τὰ λοιπά μου
μέλου δικαίως, ὥσπερ ἐς τόδ’ ἡμέρας.
ΘΗ.Οὔτ’ εἴ τι μῆκος τῶν λόγων ἔθου πλέον,
τέκνοισι τερφθεὶς τοῖσδε θαυμάσας ἔχω,
οὐδ’ εἰ πρὸ τοὐμοῦ προὔλαβες τὰ τῶνδ’ ἔπη·
βάρος γὰρ ἡμᾶς οὐδὲν ἐκ τούτων ἔχει·
οὐ γὰρ λόγοισι τὸν βίον σπουδάζομεν
λαμπρὸν ποιεῖσθαι μᾶλλον ἢ τοῖς δρωμένοις.
Δείκνυμι δ’· ὧν γὰρ ὤμοσ’ οὐκ ἐψευσάμην
οὐδέν σε, πρέσβυ· τάσδε γὰρ πάρειμ’ ἄγων
ζώσας, ἀκραιφνεῖς τῶν κατηπειλημένων.
Χὤπως μὲν ἁγὼν οὗτος ᾑρέθη, τί δεῖ
κομπεῖν ἅ γ’ εἴσῃ καὐτὸς ἐκ ταύταιν ξυνών;
Λόγος δ’ ὃς ἐμπέπτωκεν ἀρτίως ἐμοὶ
στείχοντι δεῦρο, συμβαλοῦ γνώμην, ἐπεὶ
σμικρὸς μὲν εἰπεῖν, ἄξιος δὲ θαυμάσαι·
πρᾶγος δ’ ἀτίζειν οὐδὲν ἄνθρωπον χρεών.
ΟΙ.Τί δ’ ἔστι, τέκνον Αἰγέως; δίδασκέ με,
ὡς μὴ εἰδότ’ αὐτὸν μηδὲν ὧν σὺ πυνθάνῃ.
ΘΗ.Φασίν τιν’ ἡμῖν ἄνδρα, σοὶ μὲν ἔμπολιν
οὐκ ὄντα, συγγενῆ δέ, προσπεσόντα πως
βωμῷ καθῆσθαι τῷ Ποσειδῶνος, παρ’ ᾧ
θύων ἔκυρον, ἡνίχ’ ὡρμώμην ἐγώ.
ΟΙ.Ποδαπόν; τί προσχρῄζοντα τῷ θακήματι;
ΘΗ.Οὐκ οἶδα πλὴν ἕν· σοῦ γάρ, ὡς λέγουσί μοι,
βραχύν τιν’ αἰτεῖ μῦθον οὐκ ὄγκου πλέων.
ΟΙ.Ποῖόν τιν’; οὐ γὰρ ἥδ’ ἕδρα σμικροῦ λόγου.
ΘΗ.Σοὶ φασὶν αὐτὸν ἐς λόγους ἐλθεῖν μολόντ’
αἰτεῖν ἀπελθεῖν 〈τ’〉 ἀσφαλῶς τῆς δεῦρ’ ὁδοῦ.
ΟΙ.Τίς δῆτ’ ἂν εἴη τήνδ’ ὁ προσθακῶν ἕδραν;
ΘΗ.Ὅρα κατ’ Ἄργος εἴ τις ὑμὶν ἐγγενὴς
ἔσθ’, ὅστις ἄν σου τοῦτο προσχρῄζοι τυχεῖν.
ΟΙ.Ὦ φίλτατε, σχὲς οὗπερ εἶ.
ΘΗ.Τί δ’ ἔστι σοι;
ΟΙ.Μή μου δεηθῇς—
ΘΗ.Πράγματος ποίου; λέγε.
ΟΙ.Ἔξοιδ’ ἀκούων τῶνδ’ ὅς ἐσθ’ ὁ προστάτης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ΘΗ.Καὶ τίς ποτ’ ἐστίν, ὅν γ’ ἐγὼ ψέξαιμί τι;
ΟΙ.Παῖς οὑμός, ὦναξ, στυγνός, οὗ λόγων ἐγὼ
ἄλγιστ’ ἂν ἀνδρῶν ἐξανασχοίμην κλύων.
ΘΗ.Τί δ’; οὐκ ἀκούειν ἔστι, καὶ μὴ δρᾶν ἃ μὴ
χρῄζεις; τί σοι τοῦτ’ ἐστὶ λυπηρὸν κλύειν;
ΟΙ.Ἔχθιστον, ὦναξ, φθέγμα τοῦθ’ ἥκει πατρί·
καὶ μή μ’ ἀνάγκῃ προσβάλῃς τάδ’ εἰκαθεῖν.
ΘΗ.Ἀλλ’ εἰ τὸ θάκημ’ ἐξαναγκάζει, σκόπει,
μή σοι πρόνοι’ ᾖ τοῦ θεοῦ φυλακτέα.
ΑΝ.Πάτερ, πιθοῦ μοι, κεἰ νέα παραινέσω.
Τὸν ἄνδρ’ ἔασον τόνδε τῇ θ’ αὑτοῦ φρενὶ
χάριν παρασχεῖν τῷ θεῷ θ’ ἃ βούλεται,
καὶ νῷν ὕπεικε τὸν κασίγνητον μολεῖν.
Οὐ γάρ σε, θάρσει, πρὸς βίαν παρασπάσει
γνώμης, ἃ μή σοι συμφέροντα λέξεται.
Λόγων δ’ ἀκοῦσαι τίς βλάβη; τά τοι κακῶς
ηὑρημέν’ ἔργα τῷ λόγῳ μηνύεται.
Ἔφυσας αὐτόν· ὥστε μηδὲ δρῶντά σε
τὰ τῶν κακίστων δυσσεβέστατ’, ὦ πάτερ,
θέμις σέ γ’ εἶναι κεῖνον ἀντιδρᾶν κακῶς.
Ἄλλαι γονεῦσι χἀτέροις γοναὶ κακαὶ
καὶ θυμὸς ὀξύς, ἀλλὰ νουθετούμενοι
φίλων ἐπῳδαῖς ἐξεπᾴδονται φύσιν.
Σὺ δ’ εἰς ἐκεῖνα, μὴ τὰ νῦν, ἀποσκόπει,
πατρῷα καὶ μητρῷα πήμαθ’ ἅπαθες·
κἂν κεῖνα λεύσσῃς, οἶδ’ ἐγώ, γνώσῃ κακοῦ
θυμοῦ τελευτὴν ὡς κακὴ προσγίγνεται.
Ἔχεις γὰρ οὐχὶ βαιὰ τἀνθυμήματα,
τῶν σῶν ἀδέρκτων ὀμμάτων τητώμενος.
Ἀλλ’ ἡμὶν εἶκε· λιπαρεῖν γὰρ οὐ καλὸν
δίκαια προσχρῄζουσιν, οὐδ’ αὐτὸν μὲν εὖ
πάσχειν, παθόντα δ’ οὐκ ἐπίστασθαι τίνειν.
ΟΙ.Τέκνον, βαρεῖαν ἡδονὴν νικᾶτέ με
λέγοντες· ἔστω δ’ οὖν ὅπως ὑμῖν φίλον.
Μόνον, ξέν’, εἴπερ κεῖνος ὧδ’ ἐλεύσεται,
μηδεὶς κρατείτω τῆς ἐμῆς ψυχῆς ποτε.
ΘΗ.Ἅπαξ τὰ τοιαῦτ’, οὐχὶ δὶς χρῄζω κλύειν,
ὦ πρέσβυ. Κομπεῖν δ’ οὐχὶ βούλομαι· σὺ δ’ ὢν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σῶς ἴσθ’, ἐάν περ κἀμέ τις σῴζῃ θεῶν.
ΧΟ.Ὅστις τοῦ πλέονος μέρουςStr.
χρῄζει τοῦ μετρίου παρεὶς
ζώειν, σκαιοσύναν φυλάσ-
σων ἐν ἐμοὶ κατάδηλος ἔσται.
Ἐπεὶ πολλὰ μὲν αἱ μακραὶ
ἁμέραι κατέθεντο δὴ
λύπας ἐγγυτέρω, τὰ τέρ-
ποντα δ’ οὐκ ἂν ἴδοις ὅπου,
ὅταν τις ἐς πλέον πέσῃ
τοῦ δέοντος· ὁ δ’ ἐπίκουρος ἰσοτέλεστος,
Ἄϊδος ὅτε Μοῖρ’ ἀνυμέναιος
ἄλυρος ἄχορος ἀναπέφηνε,
θάνατος ἐς τελευτάν.
Μὴ φῦναι τὸν ἅπαντα νι-Ant.
κᾷ λόγον· τὸ δ’, ἐπεὶ φανῇ,
βῆναι κεῖθεν ὅθεν περ ἥ-
κει, πολὺ δεύτερον, ὡς τάχιστα.
Ὡς εὖτ’ ἂν τὸ νέον παρῇ
κούφας ἀφροσύνας φέρον,
τίς πλάγχθη πολὺ μόχθος ἔ-
ξω; τίς οὐ καμάτων ἔνι;
φόνοι, στάσεις, ἔρις, μάχαι
καὶ φθόνος· τό τε κατάμεμπτον ἐπιλέλογχε
πύματον ἀκρατὲς ἀπροσόμιλον
γῆρας ἄφιλον, ἵνα πρόπαντα
κακὰ κακῶν ξυνοικεῖ.
Ἐν ᾧ τλάμων ὅδ’, οὐκ ἐγὼ μόνος,Ep.
πάντοθεν βόρειος ὥς τις ἀκτὰ
κυματοπλὴξ χειμερία κλονεῖται,
ὣς καὶ τόνδε κατ’ ἄκρας
δειναὶ κυματοαγεῖς
ἆται κλονέουσιν ἀεὶ ξυνοῦσαι,
αἱ μὲν ἀπ’ ἀελίου δυσμᾶν,
αἱ δ’ ἀνατέλλοντος,
αἱ δ’ ἀνὰ μέσσαν ἀκτῖν’,
αἱ δ’ ἐννυχιᾶν ἀπὸ Ῥιπᾶν.
ΑΝ.Καὶ μὴν ὅδ’ ἡμῖν, ὡς ἔοικεν, ὁ ξένος

ἀνδρῶν γε μοῦνος, ὦ πάτερ, δι᾽ ὄμματος
unit_399.2 ἀστακτὶ λείβων δάκρυον ὧδ᾽ ὁδοιπορεῖ.
unit_399.3 ΟΙ.Τίς οὗτος;
1252.1 ΑΝ.Ὅνπερ καὶ πάλαι κατείχομεν
1252.2 γνώμῃ, πάρεστι δεῦρο Πολυνείκης ὅδε.
1252.3 ΠΟΛΥΝΕΙΚΗΣ
1254 Οἴμοι, τί δράσω; πότερα τἀμαυτοῦ κακὰ
1255.1 πρόσθεν δακρύσω, παῖδες, ἢ τὰ τοῦδ᾽ ὁρῶν
1255.2 πατρὸς γέροντος; ὃν ξένης ἐπὶ χθονὸς
1255.3 σὺν σφῷν ἐφηύρηκ᾽ ἐνθάδ᾽ ἐκβεβλημένον
1255.4 ἐσθῆτι σὺν τοιᾷδε, τῆς ὁ δυσφιλὴς
1255.5 γέρων γέροντι συγκατῴκηκεν πίνος
1260 πλευρὰν μαραίνων, κρατὶ δ᾽ ὀμματοστερεῖ
unit_404.1 κόμη δι᾽ αὔρας ἀκτένιστος ᾄσσεται·
unit_404.2 ἀδελφὰ δ᾽, ὡς ἔοικε, τούτοισιν φορεῖ
unit_404.3 τὰ τῆς ταλαίνης νηδύος θρεπτήρια.
unit_404.4 Ἁγὼ πανώλης ὄψ᾽ ἄγαν ἐκμανθάνω·
1265.1 καὶ μαρτυρῶ κάκιστος ἀνθρώπων τροφαῖς
1265.2 ταῖς σαῖσιν ἥκειν· τἀμὰ μὴ ᾽ξ ἄλλων πύθῃ.
1265.3 Ἀλλ᾽ ἔστι γὰρ καὶ Ζηνὶ σύνθακος θρόνων
1265.4 Αἰδὼς ἐπ᾽ ἔργοις πᾶσι, καὶ πρὸς σοί, πάτερ,
1265.5 παρασταθήτω· τῶν γὰρ ἡμαρτημένων
1270.1 ἄκη μὲν ἔστι, προσφορὰ δ᾽ οὐκ ἔστ᾽ ἔτι.
1270.2 Τί σιγᾷς;
1270.3 Φώνησον, ὦ πάτερ, τι· μή μ᾽ ἀποστραφῇς·
1270.4 οὐδ᾽ ἀνταμείβῃ μ᾽ οὐδέν, ἀλλ᾽ ἀτιμάσας
1270.5 πέμψεις ἄναυδος, οὐδ᾽ ἃ μηνίεις φράσας;
1275.1 Ὦ σπέρματ᾽ ἀνδρὸς τοῦδ᾽, ἐμαὶ δ᾽ ὁμαίμονες,
1275.2 πειράσατ᾽ ἀλλ᾽ ὑμεῖς γε κινῆσαι πατρὸς
1275.3 τὸ δυσπρόσοιστον κἀπροσήγορον στόμα,
1275.4 ὡς μή μ᾽ ἄτιμον, τοῦ θεοῦ γε προστάτην,
1275.5 οὕτως ἀφῇ με μηδὲν ἀντειπὼν ἔπος.
1280.1 ΑΝ.Λέγ᾽, ὦ ταλαίπωρ᾽, αὐτὸς ὧν χρείᾳ πάρει·
1280.2 τὰ πολλὰ γάρ τοι ῥήματ᾽ ἢ τέρψαντά τι
1280.3 ἢ δυσχεράναντ᾽ ἢ κατοικτίσαντά πως
1280.4 παρέσχε φωνὴν τοῖς ἀφωνήτοις τινά.
1280.5 ΠΟ.Ἀλλ᾽ ἐξερῶ· καλῶς γὰρ ἐξηγῇ σύ μοι·
1285.1 πρῶτον μὲν αὐτὸν τὸν θεὸν ποιούμενος
1285.2

ἀρωγόν, ἔνθεν μ’ ὧδ’ ἀνέστησεν μολεῖν
1285.3 ὁ τῆσδε τῆς γῆς κοίρανος, διδοὺς ἐμοὶ
1285.4 λέξαι τ’ ἀκοῦσαί τ’ ἀσφαλεῖ σὺν ἐξόδῳ.
1285.5 Καὶ ταῦτ’ ἀφ’ ὑμῶν, ὦ ξένοι, βουλήσομαι
1290.1 καὶ ταῖνδ’ ἀδελφαῖν καὶ πατρὸς κυρεῖν ἐμοί·
1290.2 ἃ δ’ ἦλθον ἤδη σοι θέλω λέξαι, πάτερ.
1290.3 Γῆς ἐκ πατρῴας ἐξελήλαμαι φυγάς,
1290.4 τοῖς σοῖς πανάρχοις οὕνεκ’ ἐνθακεῖν θρόνοις
1290.5 γονῇ πεφυκὼς ἠξίουν γεραιτέρᾳ.
1295.1 Ἀνθ’ ὧν μ’ Ἐτεοκλῆς, ὢν φύσει νεώτερος,
1295.2 γῆς ἐξέωσεν, οὔτε νικήσας λόγῳ,
1295.3 οὔτ’ εἰς ἔλεγχον χειρὸς οὐδ’ ἔργου μολών,
1295.4 πόλιν δὲ πείσας· ὧν ἐγὼ μάλιστα μὲν
1295.5 τὴν σὴν Ἐρινὺν αἰτίαν εἶναι λέγω·
unit_412.1 ἔπειτα κἀπὸ μάντεων ταύτῃ κλύω.
unit_412.2 Ἐπεὶ γὰρ ἦλθον Ἄργος ἐς τὸ Δωρικόν,
unit_412.3 λαβὼν Ἄδραστον πενθερόν, ξυνωμότας
unit_412.4 ἔστης’ ἐμαυτῷ γῆς ὅσοιπερ Ἀπίας
unit_412.5 πρῶτοι καλοῦνται καὶ τετίμηνται δορί,
1305.1 ὅπως τὸν ἑπτάλογχον ἐς Θήβας στόλον
1305.2 ξὺν τοῖσδ’ ἀγείρας ἢ θάνοιμι πανδίκως
1305.3 ἢ τοὺς τάδ’ ἐκπράξαντας ἐκβάλοιμι γῆς.
1305.4 Εἶεν· τί δῆτα νῦν ἀφιγμένος κυρῶ;
1305.5 σοὶ προστροπαίους, ὦ πάτερ, λιτὰς ἔχων
1310.1 αὐτός τ’ ἐμαυτοῦ ξυμμάχων τε τῶν ἐμῶν,
1310.2 οἳ νῦν σὺν ἑπτὰ τάξεσιν σὺν ἑπτά τε
1310.3 λόγχαις τὸ Θήβης πεδίον ἀμφεστᾶσι πᾶν·
1310.4 οἷος δορυσσοῦς Ἀμφιάρεως, τὰ πρῶτα μὲν
1310.5 δόρει κρατύνων, πρῶτα δ’ οἰωνῶν ὁδοῖς·
1315.1 ὁ δεύτερος δ’ Αἰτωλός, Οἰνέως τόκος,
1315.2 Τυδεύς· τρίτος δ’ Ἐτέοκλος, Ἀργεῖος γεγώς·
1315.3 τέταρτον Ἱππομέδοντ’ ἀπέστειλεν πατὴρ
1315.4 Ταλαός· ὁ πέμπτος δ’ εὔχεται κατασκαφῇ
unit_416 Καπανεὺς τὸ Θήβης ἄστυ δῃώσειν πυρί·
1320.1 ἕκτος δὲ Παρθενοπαῖος Ἀρκὰς ὄρνυται,
1320.2 ἐπώνυμος τῆς πρόσθεν ἀδμήτης χρόνῳ
1320.3 μητρὸς λοχευθείς, πιστὸς Ἀταλάντης γόνος·
1320.4 ἐγὼ δὲ σός, κεἰ μὴ σός, ἀλλὰ τοῦ κακοῦ
1320.5

πότμου φυτευθείς, σός γέ τοι καλούμενος,
ἄγω τὸν Ἄργους ἄφοβον ἐς Θήβας στρατόν.
Οἵ ς’ ἀντὶ παίδων τῶνδε καὶ ψυχῆς, πάτερ,
ἱκετεύομεν ξύμπαντες, ἐξαιτούμενοι
μῆνιν βαρεῖαν εἰκαθεῖν ὁρμωμένῳ
τῷδ’ ἀνδρὶ τοὐμοῦ πρὸς κασιγνήτου τίσιν,
ὅς μ’ ἐξέωσεν κἀπεσύλησεν πάτρας.
Εἰ γάρ τι πιστόν ἐστιν ἐκ χρηστηρίων,
οἷς ἂν σὺ προσθῇ, τοῖσδ’ ἔφασκ’ εἶναι κράτος.
Πρός νύν σε κρηνῶν, πρὸς θεῶν ὁμογνίων
αἰτῶ πιθέσθαι καὶ παρεικαθεῖν, ἐπεὶ
πτωχοὶ μὲν ἡμεῖς καὶ ξένοι, ξένος δὲ σύ·
ἄλλους δὲ θωπεύοντες οἰκοῦμεν σύ τε
κἀγώ, τὸν αὐτὸν δαίμον’ ἐξειληχότες.
Ὁ δ’ ἐν δόμοις τύραννος, ὦ τάλας ἐγώ,
κοινῇ καθ’ ἡμῶν ἐγγελῶν ἁβρύνεται·
ὅν, εἰ σὺ τἠμῇ ξυμπαραστήσῃ φρενί,
βραχεῖ σὺν ὄγκῳ καὶ χρόνῳ διασκεδῶ.
Ὥστ’ ἐν δόμοισι τοῖσι σοῖς στήσω ς’ ἄγων,
στήσω δ’ ἐμαυτόν, κεῖνον ἐκβαλὼν βίᾳ.
Καὶ ταῦτα σοῦ μὲν ξυνθέλοντος ἔστι μοι
κομπεῖν, ἄνευ σοῦ δ’ οὐδὲ σωθῆναι σθένω.
ΧΟ.Τὸν ἄνδρα, τοῦ πέμψαντος οὕνεκ’, Οἰδίπους,
εἰπὼν ὁποῖα ξύμφορ’ ἔκπεμψαι πάλιν.
ΟΙ.Ἀλλ’ εἰ μέν, ἄνδρες τῆσδε δημοῦχοι χθονός,
μὴ ’τύγχαν’ αὐτὸν δεῦρο προσπέμψας ἐμοὶ
Θησεύς, δικαιῶν ὥστ’ ἐμοῦ κλύειν λόγους,
οὔ τἄν ποτ’ ὀμφῆς τῆς ἐμῆς ἐπῄσθετο·
νῦν δ’ ἀξιωθεὶς εἶσι κἀκούσας γ’ ἐμοῦ
τοιαῦθ’ ἃ τὸν τοῦδ’ οὔποτ’ εὐφρανεῖ βίον·
ὅς γ’, ὦ κάκιστε, σκῆπτρα καὶ θρόνους ἔχων,
ἃ νῦν ὁ σὸς ξύναιμος ἐν Θήβαις ἔχει,
τὸν αὐτὸς αὑτοῦ πατέρα τόνδ’ ἀπήλασας,
κἄθηκας ἄπολιν καὶ στολὰς ταύτας φορεῖν,
ἃς νῦν δακρύεις εἰσορῶν, ὅτ’ ἐν πόνῳ
ταὐτῷ βεβηκὼς τυγχάνεις ἄκων ἐμοί.
Οὐ κλαυστὰ δ’ ἐστίν, ἀλλ’ ἐμοὶ μὲν οἰστέα
τάδ’, ἕωσπερ ἂν ζῶ, σοῦ φονέως μεμνημένος·

σὺ γάρ με μόχθῳ τῷδ’ ἔθηκας ἔντροφον,
σύ μ’ ἐξέωσας, ἐκ σέθεν δ’ ἀλώμενος
ἄλλους ἐπαιτῶ τὸν καθ’ ἡμέραν βίον.
Εἰ δ’ ἐξέφυσα τάσδε μὴ ’μαυτῷ τροφοὺς
τὰς παῖδας, ἦ τἂν οὐκ ἂν ἦ, τὸ σὸν μέρος·
νῦν δ’ αἵδε μ’ ἐκσῴζουσιν, αἵδ’ ἐμαὶ τροφοί,
αἵδ’ ἄνδρες, οὐ γυναῖκες, εἰς τὸ συμπονεῖν·
ὑμεῖς δ’ ἀπ’ ἄλλου κοὐκ ἐμοῦ πεφύκατον.
Τοιγάρ ς’ ὁ δαίμων εἰσορᾷ μέν, —οὔ τί πω
ὡς αὐτίκ’, εἴπερ οἵδε κινοῦνται λόχοι
πρὸς ἄστυ Θήβης. Οὐ γὰρ ἔσθ’ ὅπως πόλιν
κείνην ἐρείψεις, ἀλλὰ πρόσθεν αἵματι
πεσῇ μιανθεὶς χὠ ξύναιμος ἐξ ἴσου.
Τοιάσδ’ Ἀρὰς σφῷν πρόσθε τ’ ἐξανῆκ’ ἐγώ,
νῦν τ’ ἀνακαλοῦμαι ξυμμάχους ἐλθεῖν ἐμοί,
ἵν’ ἀξιῶτον τοὺς φυτεύσαντας σέβειν,
καὶ μὴ ’ξατιμάζητον, εἰ τυφλοῦ πατρὸς
τοιώδ’ ἔφυτον· αἵδε γὰρ τάδ’ οὐκ ἔδρων.
Τοιγὰρ τὸ σὸν θάκημα καὶ τοὺς σοὺς θρόνους
κρατοῦσιν, εἴπερ ἐστὶν ἡ παλαίφατος
Δίκη ξύνεδρος Ζηνὸς ἀρχαίοις νόμοις.
Σὺ δ’ ἔρρ’ ἀπόπτυστός τε κἀπάτωρ ἐμοῦ,
κακῶν κάκιστε, τάσδε συλλαβὼν ’Αράς,
ἅς σοι καλοῦμαι, μήτε γῆς ἐμφυλίου
δόρει κρατῆσαι μήτε νοστῆσαί ποτε
τὸ κοῖλον Ἄργος, ἀλλὰ συγγενεῖ χερὶ
θανεῖν κτανεῖν θ’ ὑφ’ οὗπερ ἐξελήλασαι.
Τοιαῦτ’ ἀρῶμαι, καὶ καλῶ τοῦ Ταρτάρου
στυγνὸν τὸ πρῶτον ἔρεβος, ὥς ς’ ἀποικίσῃ,
καλῶ δὲ τάσδε δαίμονας, καλῶ δ’ Ἄρη
τὸν σφῷν τὸ δεινὸν μῖσος ἐμβεβληκότα.
Καὶ ταῦτ’ ἀκούσας στεῖχε κἀξάγγελλ’ ἰὼν
καὶ πᾶσι Καδμείοισι τοῖς σαυτοῦ θ’ ἅμα
πιστοῖσι συμμάχοισιν, οὕνεκ’ Οἰδίπους
τοιαῦτ’ ἔνειμε παισὶ τοῖς αὑτοῦ γέρα.
ΧΟ.Πολύνεικες, οὔτε ταῖς παρελθούσαις ὁδοῖς
ξυνήδομαί σοι, νῦν τ’ ἴθ’ ὡς τάχος πάλιν.
ΠΟ.Οἴμοι κελεύθου τῆς τ’ ἐμῆς δυσπραξίας,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἴμοι δ’ ἑταίρων· οἷον ἆρ’ ὁδοῦ τέλος
Ἄργους ἀφωρμήθημεν, ὢ τάλας ἐγώ,
τοιοῦτον οἷον οὐδὲ φωνῆσαί τινι
ἔξεσθ’ ἑταίρων, οὐδ’ ἀποστρέψαι πάλιν,
ἀλλ’ ὄντ’ ἄναυδον τῇδε συγκῦρσαι τύχῃ.
Ὦ τοῦδ’ ὅμαιμοι παῖδες, ἀλλ’ ὑμεῖς, ἐπεὶ
τὰ σκληρὰ πατρὸς κλύετε τοῦδ’ ἀρωμένου,
μή τοί με πρὸς θεῶν σφώ γ’, ἐὰν αἱ τοῦδ’ ἀραὶ
πατρὸς τελῶνται καί τις ὑμὶν ἐς δόμους
νόστος γένηται, μή μ’ ἀτιμάσητέ γε,
ἀλλ’ ἐν τάφοισι θέσθε κἀν κτερίσμασιν.
Καὶ σφῷν ὁ νῦν ἔπαινος, ὃν κομίζετον
τοῦδ’ ἀνδρὸς οἷς πονεῖτον, οὐκ ἐλάσσονα
ἔτ’ ἄλλον οἴσει τῆς ἐμῆς ὑπουργίας.
ΑΝ.Πολύνεικες, ἱκετεύω σε πεισθῆναί τί μοι.
ΠΟ.Ὦ φιλτάτη, τὸ ποῖον, Ἀντιγόνη; λέγε.
ΑΝ.Στρέψαι στράτευμ’ ἐς Ἄργος ὡς τάχιστά γε,
καὶ μὴ σέ τ’ αὐτὸν καὶ πόλιν διεργάσῃ.
ΠΟ.Ἀλλ’ οὐχ οἷόν τε· πῶς γὰρ αὖθις ἂν πάλιν
στράτευμ’ ἄγοιμι ταὐτὸν εἰσάπαξ τρέσας;
ΑΝ.Τί δ’ αὖθις, ὦ παῖ, δεῖ σε θυμοῦσθαι; τί σοι
πάτραν κατασκάψαντι κέρδος ἔρχεται;
ΠΟ.Αἰσχρὸν τὸ φεύγειν καὶ τὸ πρεσβεύοντ’ ἐμὲ
οὕτω γελᾶσθαι τοῦ κασιγνήτου πάρα.
ΑΝ.Ὁρᾷς τὰ τοῦδ’ οὖν ὥς 〈σ’〉 ἐς ὀρθὸν ἐκφέρει
μαντεύμαθ’ ὃς σφῷν θάνατον ἐξ ἀμφοῖν θροεῖ;
ΠΟ.Χρῄζει γάρ· ἡμῖν δ’ οὐχὶ συγχωρητέα.
ΑΝ.Οἴμοι τάλαινα· τίς δὲ τολμήσει κλύων
τὰ τοῦδ’ ἕπεσθαι τἀνδρός, οἷ’ ἐθέσπισεν;
ΠΟ.Οὐδ’ ἀγγελοῦμεν φλαῦρ’· ἐπεὶ στρατηλάτου
χρηστοῦ τὰ κρείσσω μηδὲ τἀνδεᾶ λέγειν.
ΑΝ.Οὕτως ἄρ’, ὦ παῖ, ταῦτά σοι δεδογμένα;
ΠΟ.Καὶ μή μ’ ἐπίσχῃς γ’· ἀλλ’ ἐμοὶ μὲν ἥδ’ ὁδὸς
ἔσται μέλουσα δύσποτμός τε καὶ κακὴ
πρὸς τοῦδε πατρὸς τῶν τε τοῦδ’ Ἐρινύων.
Σφῷν δ’ εὐοδοίη Ζεύς, τάδ’ εἰ θανόντι μοι
τελεῖτ’, ἐπεὶ οὔ μοι ζῶντί γ’ αὖθις ἕξετον.
Μέθεσθε δ’ ἤδη, χαίρετόν τ’· οὐ γάρ μ’ ἔτι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βλέποντ’ ἐσόψεσθ’ αὖθις.
1438.1 ΑΝ.Ὦ τάλαιν’ ἐγώ.
1438.2 ΠΟ.Μή τοί μ’ ὀδύρου.
1439 ΑΝ.Καὶ τίς ἄν ς’ ὁρμώμενον
1440.1 εἰς προὖπτον Ἅιδην οὐ καταστένοι, κάσι;
1440.2 ΠΟ.Εἰ χρή, θανοῦμαι.
1441.1 ΑΝ.Μὴ σύ γ’, ἀλλ’ ἐμοὶ πιθοῦ.
1441.2 ΠΟ.Μὴ πεῖθ’ ἃ μὴ δεῖ.
1442.1 ΑΝ.Δυστάλαινά τἄρ’ ἐγώ,
1442.2 εἴ σου στερηθῶ.
1443.1 ΠΟ.Ταῦτα δ’ ἐν τῷ δαίμονι
1443.2 καὶ τῇδε φῦναι χἀτέρᾳ. Σφῷν δ’ οὖν ἐγὼ
1445 θεοῖς ἀρῶμαι μή ποτ’ ἀντῆσαι κακῶν·
unit_451 ἀνάξιαι γὰρ πᾶσίν ἐστε δυστυχεῖν.
1448.1 ΧΟ.Νέα τάδε νεόθεν ἦλθέ μοιStr. 1.
1448.2 βαρύποτμά 〈τινα〉 κακὰ παρ’ ἀλαοῦ ξένου,
unit_453.1 εἴ τι μοῖρα μὴ κιγχάνει.
unit_453.2 Ματᾶν γὰρ οὐδὲν ἀξίω-
unit_453.3 μα δαιμόνων ἔχω φράσαι.
unit_453.4 Ὁρᾷ, ὁρᾷ ταῦτ’ ἀεὶ
unit_453.5 Χρόνος, ἐπ’ 〈ἕτ〉 ει μὲν ἕτερα,
1455.1 τὰ δὲ π〈αρ〉’ ἦμαρ αὖθις αὔξων ἄνω.
1455.2 Ἔκτυπεν αἰθήρ, ὦ Ζεῦ.
1455.3 ΟΙ.Ὦ τέκνα, τέκνα, πῶς ἄν, εἴ τις ἔντοπος,
1455.4 τὸν πάντ’ ἄριστον δεῦρο Θησέα πόροι;
1455.5 ΑΝ.Πάτερ, τί δ’ ἐστὶ τἀξίωμ’ ἐφ’ ᾧ καλεῖς;
1460.1 ΟΙ.Διὸς πτερωτὸς ἥδε μ’ αὐτίκ’ ἄξεται
1460.2 βροντὴ πρὸς Ἅιδην· ἀλλὰ πέμψαθ’ ὡς τάχος.
1461.1 ΧΟ.Ἴδε μάλα μέγας ἐρείπεταιAnt. 1.
1461.2 κτύπος ἄφατος ὅδε διόβολος· ἐς δ’ ἄκραν
1465.1 δεῖμ’ ὑπῆλθε κρατὸς φόβαν.
1465.2 Ἔπτηξα θυμόν· οὐράνια
1465.3 γὰρ ἀστραπὰ φλέγει πάλιν.
1465.4 Τί μὰν ἀφήσει τέλος;
1465.5 δέδια τόδ’· οὐ γὰρ ἅλιον
1470.1 ἀφορμᾷ ποτ’, οὐκ ἄνευ ξυμφορᾶς.
1470.2 Ὦ μέγας αἰθήρ, ὦ Ζεῦ.
1470.3 ΟΙ.Ὦ παῖδες, ἥκει τῷδ’ ἐπ’ ἀνδρὶ θέσφατος
unit_459.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βίου τελευτή, κοὐκέτ’ ἔστ’ ἀποστροφή.
unit_459.2 ΑΝ.Πῶς οἶσθα; τῷ δὲ τοῦτο συμβαλὼν ἔχεις;
1475.1 ΟΙ.Καλῶς κάτοιδ’· ἀλλ’ ὡς τάχιστά μοι μολὼν
1475.2 ἄνακτα χώρας τῆσδέ τις πορευσάτω.
1478.1 ΧΟ.Ἔα ἔα, ἰδοὺ μάλ’ αὖθις ἀμφίστατaιStr. 2.
1478.2 διαπρύσιος ὄτοβος.
1480.1 Ἵλαος, ὦ δαίμων, ἵλαος, εἴ τι γᾷ
1480.2 ματέρι τυγχάνεις ἀφεγγὲς φέρων.
1480.3 Ἐναισίου δὲ σοῦ τύχοι-
1480.4 μι, μηδ’ ἄλαστον ἄνδρ’ ἰδὼν
1480.5 ἀκερδῆ χάριν μετάσχοιμί πως·
1485.1 Ζεῦ ἄνα, σοὶ φωνῶ.
1485.2 ΟΙ.Ἆρ’ ἐγγὺς ἁνήρ; ἆρ’ ἔτ’ ἐμψύχου, τέκνα,
1485.3 κιχήσεταί μου καὶ κατορθοῦντος φρένα;
1485.4 ΑΝ.Τί δ’ ἂν θέλοις τὸ πιστὸν ἐμφῦσαι φρενί;
1485.5 ΟΙ.Ἀνθ’ ὧν ἔπασχον εὖ, τελεσφόρον χάριν
1490 δοῦναί σφιν ἥνπερ τυγχάνων ὑπεσχόμην.
1490.1 ΧΟ.Ἰὼ 〈ἰώ〉, παῖ, βᾶθι, βᾶθ’, – – –Ant. 2.
1490.2 εἴτ’ ἄκρον ἐπὶ γύαλον
1494 ἐναλίῳ Ποσειδαονίῳ θεῷ
1495.1 βούθυτον ἑστίαν ἁγίζων, ἱκοῦ.
1495.2 Ὁ γὰρ ξένος σε καὶ πόλισ-
1495.3 μα καὶ φίλους ἐπαξιοῖ
1495.4 δικαίαν χάριν παρασχεῖν παθών.
1495.5 〈Σπεῦσον〉, ἄϊσσ’, ὦναξ.
unit_468.1 ΘΗ.Τίς αὖ παρ’ ὑμῶν κοινὸς ἠχεῖται κτύπος
unit_468.2 σαφὴς μὲν αὐτῶν, ἐμφανὴς δὲ τοῦ ξένου;
unit_468.3 μή τις Διὸς κεραυνός, ἤ τις ὀμβρία
unit_468.4 χάλαζ’ ἐπιρράξασα; πάντα γὰρ θεοῦ
unit_468.5 τοιαῦτα χειμάζοντος εἰκάσαι πάρα.
1505.1 ΟΙ.Ἄναξ, ποθοῦντι προὐφάνης, καί σοι θεῶν
1505.2 τύχην τις ἐσθλὴν τῆσδ’ ἔθηκε τῆς ὁδοῦ.
1505.3 ΘΗ.Τί δ’ ἐστίν, ὦ παῖ Λαΐου, νέορτον αὖ;
1505.4 ΟΙ.Ῥοπὴ βίου μοι· καί σ’ ἅπερ ξυνήνεσα
1505.5 θέλω πόλιν τε τήνδε μὴ ψεύσας θανεῖν.
1510.1 ΘΗ.Ἐν τῷ δὲ κεῖσαι τοῦ μόρου τεκμηρίῳ;
1510.2 ΟΙ.Αὐτοὶ θεοὶ κήρυκες ἀγγέλλουσί μοι,
1510.3 ψεύδοντες οὐδὲν σημάτων προκειμένων.
1510.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ΘΗ.Πῶς εἶπας, ὦ γεραιέ, δηλοῦσθαι τάδε;
ΟΙ.Αἱ πολλὰ βρονταὶ διατελεῖς τὰ πολλά τε
στράψαντα χειρὸς τῆς ἀνικήτου βέλη.
ΘΗ.Πείθεις με· πολλὰ γάρ σε θεσπίζονθ’ ὁρῶ
κοὐ ψευδόφημα· χὤ τι χρὴ ποεῖν λέγε.
ΟΙ.Ἐγὼ διδάξω, τέκνον Αἰγέως, ἅ σοὶ
γήρως ἄλυπα σῇ τε κείσεται πόλει.
Χῶρον μὲν αὐτὸς αὐτίκ’ ἐξηγήσομαι,
ἄθικτος ἡγητῆρος, οὗ με χρὴ θανεῖν.
Τοῦτον δὲ φράζε μή ποτ’ ἀνθρώπων τινὶ
μήθ’ οὗ κέκευθε μήτ’ ἐν οἷς κεῖται τόποις,
ὥς σοι πρὸ πολλῶν ἀσπίδων ἀλκὴν ὅδε
δορός τ’ ἐπακτοῦ γειτόνων ἀεὶ τιθῇ.
Ἃ δ’ ἐξάγιστα μηδὲ κινεῖται λόγῳ
αὐτὸς μαθήσῃ, κεῖσ’ ὅταν μόλῃς, μόνος·
ὡς οὔτ’ ἂν ἀστῶν τῶνδ’ ἂν ἐξείποιμί τῳ,
οὔτ’ ἂν τέκνοισι τοῖς ἐμοῖς στέργων ὅμως.
Ἀλλ’ αὐτὸς αἰεὶ σῷζε, χὤταν εἰς τέλος
τοῦ ζῆν ἀφικνῇ, τῷ προφερτάτῳ μόνῳ
σήμαιν’, ὃ δ’ αἰεὶ τὠπιόντι δεικνύτω.
Χοὔτως ἀδῇον τήνδ’ ἐνοικήσεις πόλιν
σπαρτῶν ἀπ’ ἀνδρῶν· αἱ δὲ μυρίαι πόλεις,
κἂν εὖ τις οἰκῇ, ῥᾳδίως καθύβρισαν·
θεοὶ γὰρ εὖ μέν, ὀψὲ δ’ εἰσορῶσ’, ὅταν
τὰ θεῖ’ ἀφείς τις εἰς τὸ μαίνεσθαι τραπῇ·
ὃ μὴ σύ, τέκνον Αἰγέως, βούλου παθεῖν.
Τὰ μὲν τοιαῦτ’ οὖν εἰδότ’ ἐκδιδάσκομεν.
Χῶρον δ’, ἐπείγει γάρ με τοὐκ θεοῦ παρόν,
στείχωμεν ἤδη, μηδ’ ἔτ’ ἐντρεπώμεθα.
Ὦ παῖδες, ὧδ’ ἕπεσθ’· ἐγὼ γὰρ ἡγεμὼν
σφῷν αὖ πέφασμαι καινός, ὥσπερ σφὼ πατρί.
Χωρεῖτε, καὶ μὴ ψαύετ’, ἀλλ’ ἐᾶτέ με
αὐτὸν τὸν ἱερὸν τύμβον ἐξευρεῖν ἵνα
μοῖρ’ ἀνδρὶ τῷδε τῇδε κρυφθῆναι χθονί.
Τῇδ’, ὧδε, τῇδε βᾶτε· τῇδε γάρ μ’ ἄγει
Ἑρμῆς ὁ πομπὸς ἥ τε νερτέρα θεός.
Ὦ φῶς ἀφεγγές, πρόσθε πού ποτ’ ἦσθ’ ἐμόν,
νῦν δ’ ἔσχατόν σου τοὐμὸν ἅπτεται δέμας·

ἤδη γὰρ ἕρπω τὸν τελευταῖον βίον
unit_480.3 κρύψων παρ’ Ἅιδην. Ἀλλά, φίλτατε ξένων,
unit_480.4 αὐτός τε χώρα θ’ ἥδε πρόσπολοί τε σοὶ
unit_480.5 εὐδαίμονες γένοισθε, κἀπ’ εὐπραξίᾳ
1555 μέμνησθέ μου θανόντος εὐτυχεῖς ἀεί.
1555.1 ΧΟ.Εἰ θέμις ἐστί μοι τὰν ἀφανῆ θεὸνStr.
1555.2 καὶ σὲ λιταῖς σεβίζειν,
1555.3 ἐννυχίων ἄναξ,
1555.4 Αἰδωνεῦ Αἰδωνεῦ, λίσσομαι
1560.1 μὴ ’πιπόνῳ μήτ’ ἐπὶ βαρυαχεῖ
1560.2 ξένον ἐξανύσαι
1560.3 μόρῳ τὰν παγκευ-
1560.4 θῆ κάτω νεκρῶν πλάκα
1560.5 καὶ Στύγιον δόμον.
1565.1 Πολλῶν γὰρ ἂν καὶ μάταν
1565.2 πημάτων ἱκνουμένων
1565.3 πάλιν σφε δαίμων δίκαιος αὔξοι.
1567.1 Ὦ χθόνιαι θεαὶ σῶμά τ’ ἀνικάτουAnt.
1567.2 θηρὸς ὃν ἐν πύλαισι
1570.1 〈ταῖσδε〉 πολυξένοις
1570.2 εὐνᾶσθαι κνυζεῖσθαί τ’ ἐξ ἄντρων
1570.3 ἀδάματον φύλακα παρ’ Ἀΐδᾳ
unit_487.1 λόγος αἰὲν ἔχει·
unit_487.2 ὅν, ὦ Γᾶς παῖ καὶ
1574 Ταρτάρου, κατεύχομαι,
1575.1 ἐν καθαρῷ βῆναι
1575.2 ὁρμωμένῳ νερτέρας
1575.3 τῷ ξένῳ νεκρῶν πλάκας·
1575.4 σέ τοι κικλήσκω τὸν αἰένυπνον.
1578 ΑΓΓΕΛΟΣ
1579 Ἄνδρες πολῖται, ξυντομωτάτως μὲν ἂν
1580.1 τύχοιμι λέξας Οἰδίπουν ὀλωλότα·
1580.2 ἃ δ’ ἦν τὰ πραχθέντ’ οὔθ’ ὁ μῦθος ἐν βραχεῖ
1580.3 φράσαι πάρεστιν, οὔτε τἄργ’ ὅς’ ἦν ἐκεῖ.
1580.4 ΧΟ.Ὄλωλε γὰρ δύστηνος;
1583.1 ΑΓ.Ὡς λελογχότα
1583.2 κεῖνον τὸν αἰεὶ βίοτον ἐξεπίστασο.
1585.1 ΧΟ.Πῶς; ἆρα θείᾳ κἀπόνῳ τάλας τύχῃ;
1585.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ΑΓ.Τοῦτ’ ἐστὶν ἤδη κἀποθαυμάσαι πρέπον.
Ὡς μὲν γὰρ ἐνθένδ’ εἷρπε, καὶ σύ που παρὼν
ἔξοισθ’, ὑφηγητῆρος οὐδενὸς φίλων,
ἀλλ’ αὐτὸς ἡμῖν πᾶσιν ἐξηγούμενος·
ἐπεὶ δ’ ἀφῖκτο τὸν καταρράκτην ὀδὸν
χαλκοῖς βάθροισι γῆθεν ἐρριζωμένον,
ἔστη κελεύθων ἐν πολυσχίστων μιᾷ,
κοίλου πέλας κρατῆρος, οὗ τὰ Θησέως
Περίθου τε κεῖται πίστ’ ἀεὶ ξυνθήματα·
ἀφ’ οὗ μέσος στὰς τοῦ τε Θορικίου πέτρου
κοίλης τ’ ἀχέρδου κἀπὸ λαΐνου τάφου,
καθέζετ’· εἶτ’ ἔλυσε δυσπινεῖς στολάς,
κἄπειτ’ ἀΰσας παῖδας ἠνώγει ῥυτῶν
ὑδάτων ἐνεγκεῖν λουτρὰ καὶ χοάς ποθεν.
Τὼ δ’, εὐχλόου Δήμητρος εἰς προσόψιον
πάγον μολοῦσαι, τάσδ’ ἐπιστολὰς πατρὶ
ταχεῖ ’πόρευσαν σὺν χρόνῳ λουτροῖς τέ νιν
ἐσθῆτί τ’ ἐξήσκησαν ᾗ νομίζεται.
’Επεὶ δὲ παντὸς εἶχε δρῶντος ἡδονὴν
κοὐκ ἦν ἔτ’ ἀργὸν οὐδὲν ὧν ἐφίετο,
κτύπησε μὲν Ζεὺς Χθόνιος, αἱ δὲ παρθένοι
ῥίγησαν, ὡς ἤκουσαν· ἐς δὲ γούνατα
πατρὸς πεσοῦσαι κλαῖον, οὐδ’ ἀνίεσαν
στέρνων ἀραγμοὺς οὐδὲ παμμήκεις γόους.
Ὁ δ’ ὡς ἀκούει φθόγγον ἐξαίφνης πικρόν,
πτύξας ἐπ’ αὐταῖς χεῖρας εἶπεν· «Ὦ τέκνα,
οὐκ ἔστ’ ἔθ’ ὑμῖν τῇδ’ ἐν ἡμέρᾳ πατήρ.
Ὄλωλε γὰρ δὴ πάντα τἀμὰ κοὐκέτι
τὴν δυσπόνητον ἕξετ’ ἀμφ’ ἐμοὶ τροφήν·
σκληρὰν μέν, οἶδα, παῖδες· ἀλλ’ ἓν γὰρ μόνον
τὰ πάντα λύει ταῦτ’ ἔπος μοχθήματα·
τὸ γὰρ φιλεῖν οὐκ ἔστιν ἐξ ὅτου πλέον
ἢ τοῦδε τἀνδρὸς ἔσχεθ’, οὗ τητώμεναι
τὸ λοιπὸν ἤδη τοῦ βίου διάξετον.»
Τοιαῦτ’ ἐπ’ ἀλλήλοισιν ἀμφικείμενοι
λύγδην ἔκλαιον πάντες· ὡς δὲ πρὸς τέλος
γόων ἀφίκοντ’ οὐδ’ ἔτ’ ὠρώρει βοή,
ἦν μὲν σιωπή, φθέγμα δ’ ἐξαίφνης τινὸς

θώϋξεν αὐτόν, ὥστε πάντας ὀρθίας
στῆσαι φόβῳ δείσαντας ἐξαίφνης τρίχας.
Καλεῖ γὰρ αὐτὸν πολλὰ πολλαχῇ θεός·
«Ὦ οὗτος οὗτος, Οἰδίπους, τί μέλλομεν
χωρεῖν; πάλαι δὴ τἀπὸ σοῦ βραδύνεται.»
Ὁ δ’ ὡς ἐπῄσθετ’ ἐκ θεοῦ καλούμενος,
αὐδᾷ μολεῖν οἱ γῆς ἄνακτα Θησέα·
κἀπεὶ προσῆλθεν, εἶπεν· «Ὦ φίλον κάρα,
δός μοι χερὸς σῆς πίστιν ἀρχαίαν τέκνοις,
ὑμεῖς τε, παῖδες, τῷδε· καὶ καταίνεσον
μήποτε προδώσειν τάσδ’ ἑκών, τελεῖν δ’ ὅς’ ἂν
μέλλῃς φρονῶν εὖ ξυμφέροντ’ αὐταῖς ἀεί.»
Ὁ δ’, ὡς ἀνὴρ γενναῖος, οὐκ οἴκτου μέτα
κατῄνεσεν τάδ’ ὅρκιος δράσειν ξένῳ.
Ὅπως δὲ ταῦτ’ ἔδρασεν, εὐθὺς Οἰδίπους
ψαύσας ἀμαυραῖς χερσὶν ὧν παίδων λέγει·
«Ὦ παῖδε, τλάσας χρὴ τὸ γενναῖον φρενὶ
χωρεῖν τόπων ἐκ τῶνδε, μηδ’ ἃ μὴ θέμις
λεύσσειν δικαιοῦν, μηδὲ φωνούντων κλύειν.
Ἀλλ’ ἕρπεθ’ ὡς τάχιστα· πλὴν ὁ κύριος
Θησεὺς παρέστω μανθάνων τὰ δρώμενα.»
Τοσαῦτα φωνήσαντος εἰσηκούσαμεν
ξύμπαντες· ἀστακτὶ δὲ σὺν ταῖς παρθένοις
στένοντες ὡμαρτοῦμεν· ὡς δ’ ἀπήλθομεν,
χρόνῳ βραχεῖ στραφέντες, ἐξαπείδομεν
τὸν ἄνδρα τὸν μὲν οὐδαμοῦ παρόντ’ ἔτι,
ἄνακτα δ’ αὐτὸν ὀμμάτων ἐπίσκιον
χεῖρ’ ἀντέχοντα κρατός, ὡς δεινοῦ τινος
φόβου φανέντος οὐδ’ ἀνασχετοῦ βλέπειν.
Ἔπειτα μέντοι βαιὸν οὐδὲ σὺν χρόνῳ
ὁρῶμεν αὐτὸν Γῆν τε προσκυνοῦνθ’ ἅμα
καὶ τὸν θεῶν Ὄλυμπον ἐν ταὐτῷ λόγῳ.
Μόρῳ δ’ ὁποίῳ κεῖνος ὤλετ’ οὐδ’ ἂν εἷς
θνητῶν φράσειε, πλὴν τὸ Θησέως κάρα·
οὐ γάρ τις αὐτὸν οὔτε πυρφόρος θεοῦ
κεραυνὸς ἐξέπραξεν οὔτε ποντία
θύελλα κινηθεῖσα τῷ τότ’ ἐν χρόνῳ,
ἀλλ’ ἤ τις ἐκ θεῶν πομπός, ἢ τὸ νερτέρων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εὔνουν διαστὰν γῆς ἀλάμπετον βάθρον.
1660.4 Ἀνὴρ γὰρ οὐ στενακτὸς οὐδὲ σὺν νόσοις
1660.5 ἀλγεινὸς ἐξεπέμπετ’, ἀλλ’ εἴ τις βροτῶν
1665.1 θαυμαστός. Εἰ δὲ μὴ δοκῶ φρονῶν λέγειν,
1665.2 οὐκ ἂν παρείμην οἷσι μὴ δοκῶ φρονεῖν.
1665.3 ΧΟ.Ποῦ δ’ αἵ τε παῖδες χοἰ προπέμψαντες φίλων;
1665.4 ΑΓ.Αἵδ’ οὐχ ἑκάς· γόων γὰρ οὐκ ἀσήμονες
unit_513 φθόγγοι σφε σημαίνουσι δεῦρ’ ὁρμωμένας.
1670.1 ΑΝ.Αἰαῖ, φεῦ, ἔστιν ἔστι νῷν δὴStr. 1.
1670.2 οὐ τὸ μέν, ἄλλο δὲ μή, πατρὸς ἔμφυτον
1670.3 ἄλαστον αἷμα δυσμόροιν στενάζειν,
1670.4 ᾧ τινι τὸν πολὺν
1670.5 ἄλλοτε μὲν πόνον ἔμπεδον εἴχομεν,
1675.1 ἐν πυμάτῳ δ’ ἀλόγιστα παροίσομεν
1675.2 ἰδόντε καὶ παθούσα.
1675.3 ΧΟ.Τί δ’ ἔστιν;
1677.1 ΑΝ.Ἔστιν μὲν εἰκάσαι, φίλοι.
1677.2 ΧΟ.Βέβηκεν;
1678.1 ΑΝ.Ὡς μάλιστ’ ἂν ἐν πόθῳ λάβοις.
1678.2 Τί γάρ; ὅτῳ μήτ’ Ἄρης
1680.1 μήτε πόντος ἀντέκυρσεν,
1680.2 ἄσκοποι δὲ πλάκες ἔμαρψαν
1680.3 ἐν ἀφανεῖ τινι μόρῳ
1680.4 φερόμενον· τάλαινα, νῷν δ’ ὀλεθρία
1680.5 νὺξ ἐπ’ ὄμμασιν βέβακε·
1685.1 πῶς γὰρ ἤ τιν’ ἀπίαν
1685.2 γᾶν ἢ πόντιον κλύ-
1686.1 δων’ ἀλώμεναι βίου δύσ-
1686.2 οιστον ἕξομεν τροφάν;
1686.3 ΙΣ.Οὐ κάτοιδα. Κατά με φόνιος
1686.4 Ἀΐδας ἕλοι πατρὶ
1690.1 ξυνθανεῖν γεραιῷ
1690.2 τάλαιναν, ὡς ἔμοιγ’ ὁ μέλ-
unit_522.1 λων βίος οὐ βιωτός.
unit_522.2 ΧΟ.Ὦ διδύμα τέκνων ἀρίσ-
unit_522.3 τα, τὸ φέρον καλῶς φέρειν,
1695.1 μηδ〈έ γ’〉 ἄγαν φλέγεσθον; οὔ
1695.2 τοι κατάμεμπτ’ ἔβητον.
1696.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ΑΝ.Πόθος 〈τοι〉 καὶ κακῶν ἄρ’ ἦν τις·Ant. 1.
1696.2 καὶ γὰρ ὃ μηδαμὰ δὴ τὸ φίλον, φίλον,
1696.3 ὁπότε γε καὶ τὸν ἐν χεροῖν κατεῖχον.
unit_525.1 Ὦ πάτερ, ὦ φίλος,
unit_525.2 ὦ τὸν ἀεὶ κατὰ γᾶς σκότον εἱμένος,
unit_525.3 οὐδὲ γὰρ ὢς ἀφίλητος ἐμοί ποτε
unit_525.4 καὶ τᾷδε μὴ κυρήσῃς.
unit_525.5 ΧΟ.Ἔπραξεν—
1704 ΑΝ.Ἔπραξεν οἷον ἤθελεν.
1705 ΧΟ.Τὸ ποῖον;
1705.1 ΑΝ.Ἆς ἔχρῃζε γᾶς ἐπὶ ξένας
1705.2 ἔθανε· κοίταν δ’ ἔχει
1705.3 νέρθεν εὐσκίαστον αἰέν,
1705.4 οὐδὲ πένθος ἔλιπ’ ἄκλαυτον.
1705.5 Ἀνὰ γὰρ ὄμμα σε τόδ’, ὦ
1710.1 πάτερ, ἐμὸν στένει δακρῦον, οὐδ’ ἔχω
1710.2 πῶς με χρὴ τὸ σὸν τάλαιναν
1710.3 ἀφανίσαι τοσόνδ’ ἄχος.
1710.4 Ὤμοι, γᾶς ἐπὶ ξέ-
1710.5 νας θανεῖν ἔχρῃζες· ἀλλ’ ἔ-
1714 ρημος ἔθανες ὧδέ μοι.
1715.1 ΙΣ.Ὦ τάλαινα, τίς ἄρα με πότμος
1715.2 ἐπιμένει σέ τ’, ὦ φίλα,
1715.3 πατρὸς ὧδ’ ἐρήμας;
1715.4 _ _ _ _
1715.5 _ _ _ _
1720.1 ΧΟ.Ἀλλ’ ἐπεὶ ὀλβίως γ’ ἔλυ-
1720.2 σεν τὸ τέλος, φίλαι, βίου,
1720.3 λήγετε τοῦδ’ ἄχους· κακῶν
1720.4 γὰρ δυσάλωτος οὐδείς.
1723 ΑΝ.Πάλιν, φίλα, συθῶμεν.Str. 2.
1724 ΙΣ.Ὡς τί ῥέξομεν;
1725 ΑΝ.Ἵμερος ἔχει με—
1725.1 ΙΣ.Τίς;
1725.2 ΑΝ.τὰν χθόνιον ἑστίαν ἰδεῖν—
1725.3 ΙΣ.Τίνος;
1727.1 ΑΝ.πατρός, τάλαιν’ ἐγώ.
1727.2 ΙΣ.Θέμις δὲ πῶς τάδ’ ἐστί; μῶν
1727.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐχ ὁρᾷς;
1730.1 ΑΝ.Τί τόδ’ ἐπέπληξας;
1730.2 ΙΣ.Καὶ τόδ’, ὡς—
1731 ΑΝ.Τί τόδε μάλ’ αὖθις;
unit_540.1 ΙΣ.ἄταφος ἔπιτνε δίχα τε παντός.
unit_540.2 ΑΝ.Ἄγε με, καὶ τότ’ 〈ἐπ〉 ενάριξον.
unit_540.3 ΙΣ.– –
1734 ΑΝ.– – –
1734 ΙΣ.Αἰαῖ, δυστάλαινα,
1735.1 ποῖ δῆτ’ αὖθις ὧδ’ ἔρημος ἄπορος
1735.2 αἰῶνα τλάμον’ ἕξω;
1736 ΧΟ.Φίλαι, τρέσητε μηδέν.Ant. 2.
1737.1 ΑΝ.Ἀλλὰ ποῖ φύγω;
1737.2 ΧΟ.Καὶ πάρος ἀπέφυγε—
1737.3 ΑΝ.Τί;
1740.1 ΧΟ.〈τὰ〉 σφῷν τὸ μὴ πίτνειν κακῶς.
1740.2 ΑΝ.Φρονῶ—
1741.1 ΧΟ.Τί δῆθ’ ὑπερνοεῖς;
1741.2 ΑΝ.Ὅπως μολούμεθ’ ἐς δόμους,
1741.3 οὐκ ἔχω.
1743.1 ΧΟ.Μηδέ γε μάτευε.
1743.2 ΑΝ.Μόγος ἔχει.
1744 ΧΟ.Καὶ πάρος ἐπεῖ〈χεν〉.
1745.1 ΑΝ.Τοτὲ μὲν ἄπορα, τοτὲ δ’ ὕπερθεν.
1745.2 ΧΟ.Μέγ’ ἄρα πέλαγος ἐλάχετόν τι.
1745.3 ΑΝ.Ναὶ ναί.
1747.1 ΧΟ.Ξύμφημι καὐτός.
1747.2 ΑΝ.Φεῦ φεῦ, ποῖ μόλωμεν,
1747.3 ὦ Ζεῦ; ἐλπίδων γὰρ ἐς τί〈ν’ ἔτι〉 με
unit_552.1 δαίμων τανῦν γ’ ἐλαύνει;
unit_552.2 ΘΗ.Παύετε θρῆνον, παῖδες· ἐν οἷς γὰρ
unit_552.3 χάρις ἡ χθονία ξύν’ ἀπόκειται
unit_552.4 πενθεῖν οὐ χρή· νέμεσις γάρ.
unit_552.5 ΑΝ.Ὦ τέκνον Αἰγέως, προσπίτνομέν σοι.
1755.1 ΘΗ.Τίνος, ὦ παῖδες, χρείας ἀνύσαι;
1755.2 ΑΝ.Τύμβον θέλομεν
1755.3 προσιδεῖν αὐταὶ πατρὸς ἡμετέρου.
1755.4 ΘΗ.Ἀλλ’ οὐ θεμιτὸν κεῖσ’ ἔ〈στι〉 μολεῖν.
1755.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ΑΝ.Πῶς εἶπας, ἄναξ, κοίραν’ Ἀθηνῶν;
1760.1 ΘΗ.Ὦ παῖδες, ἀπεῖπεν ἐμοὶ κεῖνος
1760.2 μήτε πελάζειν ἐς τούσδε τόπους
1760.3 μήτ’ ἐπιφωνεῖν μηδένα θνητῶν
1760.4 θήκην ἱερὰν ἣν κεῖνος ἔχει.
1760.5 Καὶ ταῦτά μ’ ἔφη πράσσοντα καλῶς
1765.1 χώραν ἕξειν αἰὲν ἄλυπον.
1765.2 Ταῦτ’ οὖν ἔκλυεν δαίμων ἡμῶν
1765.3 χὠ πάντ’ ἀΐων Διὸς Ὅρκος.
1765.4 ΑΝ.Ἀλλ’ εἰ τάδ’ ἔχει κατὰ νοῦν κείνῳ,
1765.5 ταῦτ’ ἂν ἀπαρκοῖ· Θήβας δ’ ἡμᾶς
1770.1 τὰς ὠγυγίους πέμψον, ἐάν πως
1770.2 διακωλύσωμεν ἰόντα φόνον
unit_557.1 τοῖσιν ὁμαίμοις.
unit_557.2 ΘΗ.Δράσω καὶ τάδε, καὶ πάνθ’ 〈ὁπ〉 ός’ ἂν
unit_557.3 μέλλω πράσσειν πρόσφορά θ’ ὑμῖν
1775.1 καὶ τῷ κατὰ γῆς ὃς νέον ἔρρει
1775.2 πρὸς χάριν, οὐ δεῖ μ’ ἀποκάμνειν.
1775.3 ΧΟ.Ἀλλ’ ἀποπαύετε μηδ’ ἐπὶ πλείω
1775.4 θρῆνον ἐγείρετε·
unit_559 πάντως γὰρ ἔχει τάδε κῦρος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org